GREEK SERIES · VOLUME 102

The Histories of Polybius

Polybius

ΙΣΤΟΡΙΑΙ

The Histories of Polybius

Part One: Books I–II

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 102 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Büttner-Wobst's Teubner
Polybius, volume I (second edition, 1905)

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words the editor secludes are not printed; words he supplies
are printed without their brackets; ∗∗∗ marks a gap in the text.

CONTENTS

BOOK I

I.1–5 · The Plan of the History 7
I.6–12 · Rome Crosses to Sicily 19
I.13–18 · The War in Sicily Begins 37
I.19–24 · Rome Takes to the Sea 55
I.25–31 · Ecnomus and the Landing in Africa 75
I.32–38 · Xanthippus and the Fall of Marcus 97
I.39–45 · Panormus and the Siege of Lilybaeum 116
I.46–50 · Blockade Runners and Drepana 137

BOOK I

(continued)

I.51–54 · Disaster at Sea 151
I.55–63 · Hamilcar Barca and the End of the War 162
I.64–72 · The Mercenaries Revolt 184
I.73–80 · Hamilcar Takes Command 208
I.81–88 · The Truceless War Ends 231

BOOK II

II.1–8 · Hamilcar in Spain; Rome and the Illyrians 252
II.9–13 · The First Illyrian War 273
II.14–20 · The Po Valley and the Gauls 286
II.21–28 · The Great Gallic Invasion 306
II.29–35 · Telamon and the Conquest of the Insubres 328
II.36–43 · Hannibal Takes Command; The Achaean League 346
II.44–52 · Aratus Turns to Antigonus 366
II.53–58 · Antigonus in the Peloponnese; Phylarchus 386
II.59–66 · Aristomachus, Megalopolis, and Sellasia 403
II.67–71 · The Battle of Sellasia 423

BOOK I

I.1–5 · THE PLAN OF THE HISTORY

Earlier historians agree that history is the truest training for public life, so Polybius need not praise it. His subject itself will draw readers: how, in under fifty-three years, the Romans brought nearly the whole inhabited world under one rule, a thing without precedent; Persia, Sparta, and Macedon held far less. His history proper begins at the 140th Olympiad, when the affairs of Italy, Africa, Greece, and Asia became one whole. Fortune has bent them toward one end, and only a universal history can show it. Two introductory books first run from Rome's first crossing overseas, where Timaeus stopped.

εἰ μὲν τοῖς πρὸ ἡμῶν ἀναγράφουσι τὰς πράξεις 1.1
if indeed by-those before us recording the deeds
παραλελεῖφθαι συνέβαινε τὸν ὑπὲρ αὐτῆς τῆς ἱστορίας
to-have-been-omitted it-happened the on-behalf-of the-very — history
ἔπαινον, ἴσως ἀναγκαῖον ἦν τὸ προτρέπεσθαι πάντας πρὸς
praise perhaps necessary it-was the to-urge all toward
τὴν αἵρεσιν καὶ παραδοχὴν τῶν τοιούτων ὑπομνημάτων
the choice and reception of-the such memoirs
διὰ τὸ μηδεμίαν ἑτοιμοτέραν εἶναι τοῖς ἀνθρώποις
because-of the no readier to-be for-the men
διόρθωσιν τῆς τῶν προγεγενημένων πράξεων ἐπιστήμης.
correction than-the of-the past deeds knowledge
ἐπεὶ δ' οὐ τινὲς οὐδ' ἐπὶ ποσόν, ἀλλὰ πάντες ὡς ἔπος 1.2
since but not some nor to a-degree but all as a-word
εἰπεῖν ἀρχῇ καὶ τέλει κέχρηνται τούτῳ, φάσκοντες
to-say as-beginning and as-end have-used this claiming
ἀληθινωτάτην μὲν εἶναι παιδείαν καὶ γυμνασίαν πρὸς
truest indeed to-be education and training for
τὰς πολιτικὰς πράξεις τὴν ἐκ τῆς ἱστορίας μάθησιν,
the political affairs the from the history learning

ἐναργεστάτην δὲ καὶ μόνην διδάσκαλον τοῦ δύνασθαι
clearest and and only teacher of-the to-be-able
τὰς τῆς τύχης μεταβολὰς γενναίως ὑποφέρειν τὴν τῶν
the of-the fortune changes nobly to-bear the of-the
ἀλλοτρίων περιπετειῶν ὑπόμνησιν,
others' reversals recollection

1.3 δῆλον ὡς οὐδενὶ μὲν ἂν δόξαι καθήκειν περὶ τῶν
clear that for-no-one indeed — it-would-seem to-be-fitting about the-things
καλῶς καὶ πολλοῖς εἰρημένων ταυτολογεῖν, ἥκιστα δ'
well and by-many said to-repeat least and
ἡμῖν.
for-us

1.4 αὐτὸ γὰρ τὸ παράδοξον τῶν πράξεων, ὑπὲρ ὧν
the-very for — unexpectedness of-the deeds about which
προῃρήμεθα γράφειν, ἱκανόν ἐστι προκαλέσασθαι καὶ
we-have-chosen to-write sufficient is to-summon and
παρορμῆσαι πάντα καὶ νέον καὶ πρεσβύτερον πρὸς τὴν
to-urge everyone both young and older toward the
ἔντευξιν τῆς πραγματείας.
reading of-the treatise

1.5 τίς γὰρ οὕτως ὑπάρχει φαῦλος ἢ ῥᾴθυμος ἀνθρώπων ὃς
who for so is base or indolent of-men who
οὐκ ἂν βούλοιτο γνῶναι πῶς καὶ τίνι γένει πολιτείας
not — would-wish to-know how and by-what kind of-constitution
ἐπικρατηθέντα σχεδὸν ἅπαντα τὰ κατὰ τὴν οἰκουμένην
having-been-overpowered nearly all the-things throughout the inhabited-world
οὐχ ὅλοις πεντήκοντα καὶ τρισὶν ἔτεσιν ὑπὸ μίαν ἀρχὴν
not full fifty and three years under one rule
ἔπεσε τὴν Ῥωμαίων, ὃ πρότερον οὐχ εὑρίσκεται γεγονός,
fell the of-Romans which before not is-found having-happened

τίς δὲ πάλιν οὕτως ἐκπαθὴς πρός τι τῶν ἄλλων 1.6
who and again so passionate toward any of-the other
θεαμάτων ἢ μαθημάτων ὃς προυργιαίτερον ἄν τι
spectacles or studies who more-important — anything
ποιήσαιτο τῆσδε τῆς ἐμπειρίας;
would-make than-this the experience
ὡς δ' ἔστι παράδοξον καὶ μέγα τὸ περὶ τὴν ἡμετέραν 2.1
how and is unexpected and great the about the our
ὑπόθεσιν θεώρημα γένοιτ' ἂν οὕτως μάλιστ' ἐμφανές, εἰ
subject spectacle would-become — thus most clear if
τὰς ἐλλογιμωτάτας τῶν προγεγενημένων δυναστειῶν, περὶ
the most-notable of-the former dominions about
ἃς οἱ συγγραφεῖς τοὺς πλείστους διατέθεινται λόγους,
which the historians the most have-composed accounts
παραβάλοιμεν καὶ συγκρίναιμεν πρὸς τὴν Ῥωμαίων
we-should-set-beside and should-compare with the of-Romans
ὑπεροχήν.
preeminence
εἰσὶ δ' αἱ τῆς παραβολῆς ἄξιαι καὶ συγκρίσεως αὗται. 2.2
are and the of-the comparison worthy and of-contrast these
Πέρσαι κατά τινας καιροὺς μεγάλην ἀρχὴν κατεκτήσαντο
Persians at some times great rule acquired
καὶ δυναστείαν· ἀλλ' ὁσάκις ἐτόλμησαν ὑπερβῆναι τοὺς
and dominion but as-often-as they-dared to-cross the
τῆς Ἀσίας ὅρους, οὐ μόνον ὑπὲρ τῆς ἀρχῆς, ἀλλὰ καὶ
— of-Asia boundaries not only for the rule but also
περὶ σφῶν ἐκινδύνευσαν.
about themselves they-ran-risk

2.3 Λακεδαιμόνιοι πολλοὺς ἀμφισβητήσαντες χρόνους ὑπὲρ τῆς
Lacedaemonians many having-disputed times for the
τῶν Ἑλλήνων ἡγεμονίας, ἐπειδή ποτ' ἐκράτησαν, μόλις
of-the Greeks leadership when once they-prevailed scarcely
ἔτη δώδεκα κατεῖχον αὐτὴν ἀδήριτον.
years twelve they-held it undisputed

2.4 Μακεδόνες τῆς μὲν Εὐρώπης ἦρξαν ἀπὸ τῶν κατὰ τὸν
Macedonians — indeed of-Europe ruled from the in the
Ἀδρίαν τόπων ἕως ἐπὶ τὸν Ἴστρον ποταμόν, ὃ βραχὺ
Adriatic places as-far to the Ister river which small
παντελῶς ἂν φανείη μέρος τῆς προειρημένης χώρας·
altogether — would-appear part of-the aforesaid country

2.5 μετὰ δὲ ταῦτα προσέλαβον τὴν τῆς Ἀσίας ἀρχήν,
after and these-things they-added the — of-Asia rule
καταλύσαντες τὴν τῶν Περσῶν δυναστείαν. ἀλλ' ὅμως
having-overthrown the of-the Persians dominion but nevertheless
οὗτοι πλείστων δόξαντες καὶ τόπων καὶ πραγμάτων
these of-most having-seemed both places and affairs
γενέσθαι κύριοι, τὸ πολὺ μέρος ἀκμὴν ἀπέλιπον τῆς
to-become masters the great part still left of-the
οἰκουμένης ἀλλότριον.
inhabited-world another's

2.6 Σικελίας μὲν γὰρ καὶ Σαρδοῦς καὶ Λιβύης οὐδ' ἐπεβάλοντο
of-Sicily indeed for and of-Sardinia and of-Libya not-even did-they-attempt
καθάπαξ ἀμφισβητεῖν, τῆς δ' Εὐρώπης τὰ μαχιμώτατα γένη
once-for-all to-dispute — and of-Europe the most-warlike races
τῶν προσεσπερίων ἐθνῶν ἰσχνῶς εἰπεῖν οὐδ' ἐγίνωσκον.
of-the western nations strictly to-speak not-even they-knew

2.7 Ῥωμαῖοί γε μὴν οὐ τινὰ μέρη, σχεδὸν δὲ πᾶσαν
Romans at-least indeed not some parts nearly but all
πεποιημένοι τὴν οἰκουμένην ὑπήκοον αὑτοῖς, ἀνυπόστατον
having-made the inhabited-world subject to-themselves irresistible

μὲν τοῖς ὑπάρχουσι πᾶσιν, ἀνυπέρβλητον δὲ καὶ τοῖς
indeed to-those existing all unsurpassable and also to-those
ἐπιγινομένοις ὑπεροχὴν κατέλιπον τῆς αὑτῶν δυναστείας.
coming-after a-preeminence left of-the their-own dominion
περὶ δὲ τοῦ μεντολαδιατ ∗∗∗ ἐκ τῆς γραφῆς ἐξέσται 2.8
about and the (corrupt) (lacuna) from the writing it-will-be-possible
σαφέστερον κατανοεῖν· ὁμοίως δὲ καὶ περὶ τοῦ πόσα
more-clearly to-understand likewise and also about the how-many
καὶ πηλίκα συμβάλλεσθαι πέφυκε τοῖς φιλομαθοῦσιν ὁ
and how-great to-contribute is-wont to-those loving-learning the
τῆς πραγματικῆς ἱστορίας τρόπος.
of-the pragmatic history manner
ἄρξει δὲ τῆς πραγματείας ἡμῖν τῶν μὲν χρόνων ὀλυμπιὰς 3.1
will-begin and the treatise for-us of-the indeed times the-olympiad
ἑκατοστή τε καὶ τετταρακοστή, τῶν δὲ πράξεων παρὰ μὲν
hundredth both and fortieth of-the and deeds among indeed
τοῖς Ἕλλησιν ὁ προσαγορευθεὶς συμμαχικὸς πόλεμος, ὃν
the Greeks the called social war which
πρῶτον ἐξήνεγκε μετ᾽ Ἀχαιῶν πρὸς Αἰτωλοὺς Φίλιππος,
first waged with Achaeans against Aetolians Philip
Δημητρίου μὲν υἱός, πατὴρ δὲ Περσέως, παρὰ δὲ τοῖς τὴν
of-Demetrius indeed son father and of-Perseus among and those —
Ἀσίαν κατοικοῦσιν ὁ περὶ Κοίλης Συρίας, ὃν Ἀντίοχος
Asia inhabiting the-one about Coele Syria which Antiochus
καὶ Πτολεμαῖος ὁ Φιλοπάτωρ ἐπολέμησαν πρὸς ἀλλήλους·
and Ptolemy the Philopator warred against one-another
ἐν δὲ τοῖς κατὰ τὴν Ἰταλίαν καὶ Λιβύην τόποις ὁ 3.2
in and the in — Italy and Libya places the-one
συστὰς Ῥωμαίοις καὶ Καρχηδονίοις, ὧν οἱ πλεῖστοι
having-arisen for-Romans and Carthaginians which the most

προσαγορεύουσιν Ἀννιβιακόν. ταῦτα δ' ἔστι συνεχῆ τοῖς
call Hannibalic these and are continuous with-the
τελευταίοις τῆς παρ' Ἀράτου Σικυωνίου συντάξεως.
last-things of-the by Aratus of-Sicyon composition

3.3 ἐν μὲν οὖν τοῖς πρὸ τούτων χρόνοις ὡσανεὶ σποράδας εἶναι
in indeed therefore the before these times as-it-were scattered to-be
συνέβαινε τὰς τῆς οἰκουμένης πράξεις διὰ τὸ καὶ κατὰ
it-happened the of-the inhabited-world affairs because-of the both in
τὰς ἐπιβολάς, ἔτι δὲ καὶ τὰς συντελείας αὐτῶν ὁμοίως δὲ
the designs further and also the outcomes of-them likewise and
καὶ κατὰ τοὺς τόπους διαφέρειν ἕκαστα τῶν πεπραγμένων.
also in the places to-differ each of-the things-done

3.4 ἀπὸ δὲ τούτων τῶν καιρῶν οἱονεὶ σωματοειδῆ συμβαίνει
from and these the times as-it-were body-like it-happens
γίνεσθαι τὴν ἱστορίαν, συμπλέκεσθαί τε τὰς Ἰταλικὰς καὶ
to-become the history to-be-interwoven both the Italian and
Λιβυκὰς πράξεις ταῖς τε κατὰ τὴν Ἀσίαν καὶ ταῖς
Libyan affairs with-the both in — Asia and with-the
Ἑλληνικαῖς καὶ πρὸς ἓν γίνεσθαι τέλος τὴν ἀναφορὰν
Greek and toward one to-become end the bearing
ἁπάντων.
of-all

3.5 διὸ καὶ τὴν ἀρχὴν τῆς αὑτῶν πραγματείας ἀπὸ τούτων
wherefore also the beginning of-the our treatise from these
πεποιήμεθα τῶν καιρῶν.
we-have-made the times

3.6 τῷ γὰρ προειρημένῳ πολέμῳ κρατήσαντες Ῥωμαῖοι
in-the for aforesaid war having-conquered Romans
Καρχηδονίων καὶ νομίσαντες τὸ κυριώτατον καὶ μέγιστον
Carthaginians and having-thought the most-decisive and greatest
μέρος αὑτοῖς ἠνύσθαι πρὸς τὴν τῶν ὅλων
part by-them to-have-been-accomplished toward the of-the whole

ἐπιβολήν, οὕτως καὶ τότε πρῶτον ἐθάρσησαν ἐπὶ τὰ
design thus also then first they-dared to the
λοιπὰ τὰς χεῖρας ἐκτείνειν καὶ περαιοῦσθαι μετὰ δυνάμεως
rest the hands to-stretch and to-cross with force
εἴς τε τὴν Ἑλλάδα καὶ τοὺς κατὰ τὴν Ἀσίαν τόπους.
to both — Greece and the in — Asia places
εἰ μὲν οὖν ἡμῖν ἦν συνήθη καὶ γνώριμα τὰ πολιτεύματα 3.7
if indeed therefore to-us were familiar and known the polities
τά περὶ τῆς τῶν ὅλων ἀρχῆς ἀμφισβητήσαντα, ἴσως
the about the of-the whole rule having-disputed perhaps
οὐδὲν ἂν ἡμᾶς ἔδει περὶ τῶν πρὸ τοῦ
nothing — us it-would-be-needful about the-things before that(-time)
γράφειν ἀπὸ ποίας προθέσεως ἢ δυνάμεως ὁρμηθέντες
to-write from what purpose or power having-set-out
ἐνεχείρησαν τοῖς τοιούτοις καὶ τηλικούτοις ἔργοις.
they-took-in-hand the such and so-great works
ἐπεὶ δ' οὔτε τοῦ Ῥωμαίων οὔτε τοῦ Καρχηδονίων 3.8
since but neither of-the of-Romans nor of-the of-Carthaginians
πολιτεύματος πρόχειρός ἐστι τοῖς πολλοῖς τῶν Ἑλλήνων ἡ
polity at-hand is to-the many of-the Greeks the
προγεγενημένη δύναμις οὐδ' αἱ πράξεις αὐτῶν, ἀναγκαῖον
former power nor the deeds of-them necessary
ὑπελάβομεν εἶναι συντάξασθαι ταύτην καὶ τὴν ἑξῆς βύβλον
we-supposed to-be to-compose this and the next book
πρὸ τῆς ἱστορίας,
before the history
ἵνα μηδεὶς ἐπιστὰς ἐπ' αὐτὴν τὴν τῶν πραγμάτων 3.9
so-that no-one having-come to the-very — of-the affairs
ἐξήγησιν τότε διαπορῇ καὶ ζητῇ ποίοις διαβουλίοις ἢ
narration then may-be-at-a-loss and may-inquire by-what counsels or
ποίαις δυνάμεσι καὶ χορηγίαις χρησάμενοι Ῥωμαῖοι πρὸς
by-what forces and resources using Romans toward

ταύτας ὥρμησαν τὰς ἐπιβολάς, δι' ὧν καὶ τῆς γῆς καὶ
these set-out the designs through which both of-the land and
τῆς θαλάττης τῆς καθ' ἡμᾶς ἐγένοντο πάσης ἐγκρατεῖς,
of-the sea the in our became of-all masters
3.10 ἀλλ' ἐκ τούτων τῶν βύβλων καὶ τῆς ἐν ταύταις
but from these the books and the in them
προκατασκευῆς δῆλον ἦ τοῖς ἐντυγχάνουσιν ὅτι καὶ
preparatory-account clear may-be to-those reading that also
λίαν εὐλόγοις ἀφορμαῖς χρησάμενοι πρός τε τὴν ἐπίνοιαν
very reasonable starting-points using toward both the conception
ὥρμησαν καὶ πρὸς τὴν συντέλειαν ἐξίκοντο τῆς τῶν
they-set-out and to the completion arrived of-the of-the
ὅλων ἀρχῆς καὶ δυναστείας.
whole rule and dominion
4.1 τὸ γὰρ τῆς ἡμετέρας πραγματείας ἴδιον καὶ τὸ θαυμάσιον
the for of-the our treatise peculiar-thing and the marvel
τῶν καθ' ἡμᾶς καιρῶν τοῦτ' ἔστιν ὅτι, καθάπερ ἡ τύχη
of-the in our times this is that just-as the fortune
σχεδὸν ἅπαντα τὰ τῆς οἰκουμένης πράγματα πρὸς ἓν ἔκλινε
nearly all the of-the inhabited-world affairs toward one inclined
μέρος καὶ πάντα νεύειν ἠνάγκασε πρὸς ἕνα καὶ τὸν αὐτὸν
part and all to-tend compelled toward one and the same
σκοπόν, οὕτως καὶ δεῖ διὰ τῆς ἱστορίας ὑπὸ μίαν
goal so also it-is-needful through the history under one
σύνοψιν ἀγαγεῖν τοῖς ἐντυγχάνουσι τὸν χειρισμὸν τῆς τύχης,
view to-bring for-those reading the management of-the fortune
ᾧ κέχρηται πρὸς τὴν τῶν ὅλων πραγμάτων συντέλειαν.
which it-has-used toward the of-the whole affairs completion
4.2 καὶ γὰρ τὸ προκαλεσάμενον ἡμᾶς καὶ παρορμῆσαν
and for the-thing having-summoned us and having-urged
πρὸς τὴν ἐπιβολὴν τῆς ἱστορίας μάλιστα τοῦτο γέγονεν,
toward the undertaking of-the history most this has-been

σὺν δὲ τούτῳ καὶ τὸ μηδένα τῶν καθ' ἡμᾶς ἐπιβεβλῆσθαι
with and this also the no-one of-those in our to-have-undertaken
τῇ τῶν καθόλου πραγμάτων συντάξει· πολὺ γὰρ ἂν
the of-the general affairs composition much for —
ἧττον ἔγωγε πρὸς τοῦτο τὸ μέρος ἐφιλοτιμήθην.
less I toward this the part would-have-been-ambitious
νῦν δ' ὁρῶν τοὺς μὲν κατὰ μέρος πολέμους καί 4.3
now but seeing the indeed in particular wars and
τινας τῶν ἅμα τούτοις πράξεων καὶ πλείους
some of-the at-the-same-time with-these deeds and more
πραγματευομένους, τὴν δὲ καθόλου καὶ συλλήβδην
treating the but general and collective
οἰκονομίαν τῶν γεγονότων πότε καὶ πόθεν ὡρμήθη καὶ
arrangement of-the events when and from-where it-set-out and
πῶς ἔσχε τὴν συντέλειαν, ταύτην οὐδ' ἐπιβαλόμενον
how it-had the completion this not-even attempting
οὐδένα βασανίζειν, ὅσον γε καὶ ἡμᾶς εἰδέναι,
anyone to-examine as-far-as at-least also we to-know
παντελῶς ὑπέλαβον ἀναγκαῖον εἶναι τὸ μὴ παραλιπεῖν μηδ' 4.4
altogether I-supposed necessary to-be the not to-leave-out nor
ἐᾶσαι παρελθεῖν ἀνεπιστάτως τὸ κάλλιστον ἅμα δ'
to-let to-pass-by unnoticed the finest at-the-same-time and
ὠφελιμώτατον ἐπιτήδευμα τῆς τύχης.
most-beneficial practice of-the fortune
πολλὰ γὰρ αὕτη καινοποιοῦσα καὶ συνεχῶς ἐναγωνιζομένη 4.5
many-things for she innovating and continually contending-in
τοῖς τῶν ἀνθρώπων βίοις οὐδέπω τοιόνδ' ἁπλῶς οὔτ'
the of-the men lives never-yet such simply either
εἰργάσατ' ἔργον οὔτ' ἠγωνίσατ' ἀγώνισμα, οἷον τὸ καθ' ἡμᾶς.
performed a-work or contested a-contest such-as the in our

4.6 ὅπερ ἐκ μὲν τῶν κατὰ μέρος γραφόντων τὰς ἱστορίας οὐχ
which from indeed those in particular writing the histories not
οἷόν τε συνιδεῖν, εἰ μὴ καὶ τὰς ἐπιφανεστάτας πόλεις τις
possible — to-see-together if not also the most-famous cities one
κατὰ μίαν ἑκάστην ἐπελθὼν ἢ καὶ νὴ Δία γεγραμμένας
by one each having-visited or even by Zeus drawn
χωρὶς ἀλλήλων θεασάμενος εὐθέως ὑπολαμβάνει
apart-from one-another having-looked-at straightway supposes
κατανενοηκέναι καὶ τὸ τῆς ὅλης οἰκουμένης σχῆμα καὶ τὴν
to-have-comprehended also the of-the whole inhabited-world shape and the
σύμπασαν αὐτῆς θέσιν καὶ τάξιν· ὅπερ ἐστὶν οὐδαμῶς εἰκός.
entire its position and order which is in-no-way likely
4.7 καθόλου μὲν γὰρ ἔμοιγε δοκοῦσιν οἱ πεπεισμένοι διὰ
generally indeed for to-me seem those persuaded through
τῆς κατὰ μέρος ἱστορίας μετρίως συνόψεσθαι τὰ ὅλα
the in particular history adequately to-be-going-to-see-together the whole
παραπλήσιόν τι πάσχειν, ὡς ἂν εἴ τινες ἐμψύχου καὶ
a-similar something to-experience as — if some of-a-living and
καλοῦ σώματος γεγονότος διερριμμένα τὰ μέρη θεώμενοι
beautiful body having-been scattered the parts looking-at
νομίζοιεν ἱκανῶς αὐτόπται γίνεσθαι τῆς ἐνεργείας αὐτοῦ
should-think sufficiently eyewitnesses to-become of-the activity the-very
τοῦ ζῴου καὶ καλλονῆς.
— creature and beauty
4.8 εἰ γάρ τις αὐτίκα μάλα συνθεὶς καὶ τέλειον
if for someone immediately straightway having-put-together and complete
αὖθις ἀπεργασάμενος τὸ ζῷον τῷ τ᾽ εἴδει καὶ τῇ τῆς
again having-made the creature in-the both form and in-the of-the
ψυχῆς εὐπρεπείᾳ κἄπειτα πάλιν ἐπιδεικνύοι τοῖς αὐτοῖς
soul comeliness and-then again should-show to-the same
ἐκείνοις, ταχέως ἂν οἶμαι πάντας αὐτοὺς ὁμολογήσειν
those quickly — I-think all them to-be-going-to-agree

διότι καὶ λίαν πολύ τι τῆς ἀληθείας ἀπελείποντο
that also very much some-way of-the truth they-fell-short
πρόσθεν καὶ παραπλήσιοι τοῖς ὀνειρώττουσιν ἦσαν.
before and like to-those dreaming they-were
ἔννοιαν μὲν γὰρ λαβεῖν ἀπὸ μέρους τῶν ὅλων δυνατόν, 4.9
a-notion indeed for to-get from a-part of-the whole possible
ἐπιστήμην δὲ καὶ γνώμην ἀτρεκῆ σχεῖν ἀδύνατον.
knowledge but and judgment exact to-have impossible
διὸ παντελῶς βραχύ τι νομιστέον συμβάλλεσθαι 4.10
wherefore altogether small something one-must-think to-contribute
τὴν κατὰ μέρος ἱστορίαν πρὸς τὴν τῶν ὅλων ἐμπειρίαν
the in particular history toward the of-the whole experience
καὶ πίστιν.
and belief
ἐκ μέντοι γε τῆς ἁπάντων πρὸς ἄλληλα συμπλοκῆς 4.11
from however at-least the of-all to one-another interweaving
καὶ παραθέσεως, ἔτι δ' ὁμοιότητος καὶ διαφορᾶς, μόνως
and juxtaposition further and likeness and difference only
ἄν τις ἐφίκοιτο καὶ δυνηθείη κατοπτεύσας ἅμα καὶ
— anyone could-attain and could-be-able having-surveyed at-the-same-time both
τὸ χρήσιμον καὶ τὸ τερπνὸν ἐκ τῆς ἱστορίας ἀναλαβεῖν.
the useful and the pleasant from the history to-take-up
Ὑποθησόμεθα δὲ ταύτης ἀρχὴν τῆς βύβλου τὴν πρώτην 5.1
We-shall-set-down and of-this beginning the book the first
διάβασιν ἐξ Ἰταλίας Ῥωμαίων. αὕτη δ' ἔστιν συνεχὴς
crossing from Italy of-Romans this and is continuous
μὲν τοῖς ἀφ' ὧν Τίμαιος ἀπέλιπεν, πίπτει δὲ κατὰ
indeed with-the(-things) from where Timaeus left-off falls and in
τὴν ἐνάτην καὶ εἰκοστὴν πρὸς ταῖς ἑκατὸν ὀλυμπιάδα.
the ninth and twentieth beyond the hundred olympiad

5.2 διὸ καὶ ῥητέον ἂν εἴη πῶς καὶ πότε συστησάμενοι
wherefore also to-be-said — it-would-be how and when having-organized
τὰ κατὰ τὴν Ἰταλίαν καὶ τίσιν ἀφορμαῖς μετὰ ταῦτα
the-things in — Italy and with-what starting-points after these-things
χρησάμενοι διαβαίνειν ὥρμησαν εἰς Σικελίαν· ταύτῃ γὰρ
using to-cross they-set-out to Sicily this for
τῇ γῇ πρῶτον ἐπέβησαν τῶν ἐκτὸς τόπων τῆς Ἰταλίας.
the land first they-set-foot-on of-the outside places — of-Italy

5.3 καὶ ῥητέον αὐτὴν τὴν τῆς διαβάσεως αἰτίαν ψιλῶς, ἵνα
and to-be-said the-very — of-the crossing cause barely so-that
μὴ τῆς αἰτίας αἰτίαν ἐπιζητούσης ἀνυπόστατος ἡ τῆς
not the cause a-cause seeking baseless the of-the
ὅλης ὑποθέσεως ἀρχὴ γένηται καὶ θεωρία.
whole subject beginning may-become and view

5.4 ληπτέον δὲ καὶ τοῖς καιροῖς ὁμολογουμένην καὶ
to-be-taken and also in-the times agreed and
γνωριζομένην ἀρχὴν παρ᾽ ἅπασι καὶ τοῖς πράγμασι
recognized a-beginning by all and in-the affairs
δυναμένην αὐτὴν ἐξ αὑτῆς θεωρεῖσθαι, κἂν δέῃ
able itself from itself to-be-viewed even-if it-be-needful
τοῖς χρόνοις βραχὺ προσαναδραμόντας κεφαλαιώδη τῶν
in-the times a-little having-run-back summary of-the
μεταξὺ πράξεων ποιήσασθαι τὴν ἀνάμνησιν.
intervening deeds to-make the recollection

5.5 τῆς γὰρ ἀρχῆς ἀγνοουμένης ἢ καὶ νὴ Δί᾽ ἀμφισβητουμένης
of-the for beginning being-unknown or even by Zeus being-disputed
οὐδὲ τῶν ἑξῆς οὐδὲν οἷόν τε παραδοχῆς ἀξιωθῆναι
nor of-the following-things anything possible — of-acceptance to-be-deemed-worthy
καὶ πίστεως· ὅταν δ᾽ ἡ περὶ ταύτης ὁμολογουμένη
and of-belief when but the about this agreed

παρασκευασθῇ δόξα, τότ᾽ ἤδη καὶ πᾶς ὁ συνεχὴς λόγος
has-been-established opinion then already also all the continuous account
ἀποδοχῆς τυγχάνει παρὰ τοῖς ἀκούουσιν.
of-acceptance meets with those listening

I.6–12 · ROME CROSSES TO SICILY

After the Gauls took Rome, the Romans subdued the Latins, Etruscans, Celts, and Samnites, and then Pyrrhus, and became masters of Italy. In Sicily the Mamertines, Campanian mercenaries who had seized Messene, were hard pressed by Hiero, newly made king at Syracuse; one party called in Carthage, another Rome. The Senate would not decide on helping men who had done what Rome had punished at Rhegium, though it feared Carthage's reach; the people, worn by war and promised gain, voted aid. The Mamertines expelled the Carthaginian garrison, and Carthage and Hiero joined to besiege Messene; Appius Claudius crossed, beat each in turn, and laid siege to Syracuse.

ἔτος μὲν οὖν ἐνειστήκει μετὰ μὲν τὴν ἐν Αἰγὸς 6.1
the-year indeed therefore was-current after indeed the at Aegos
ποταμοῖς ναυμαχίαν ἐννεακαιδέκατον, πρὸ δὲ τῆς ἐν
potami sea-battle nineteenth before and the at
Λεύκτροις μάχης ἑκκαιδέκατον,
Leuctra battle sixteenth
ἐν ᾧ Λακεδαιμόνιοι μὲν τὴν ἐπ᾽ Ἀνταλκίδου λεγομένην 6.2
in which Lacedaemonians indeed the under Antalcidas called
εἰρήνην πρὸς βασιλέα τῶν Περσῶν ἐκύρωσαν καὶ
peace with the-king of-the Persians ratified and
πρεσβύτερος Διονύσιος τῇ περὶ τὸν Ἐλλέπορον ποταμὸν
the-elder Dionysius in-the about the Elleporus river
μάχῃ νενικηκὼς τοὺς κατὰ τὴν Ἰταλίαν Ἕλληνας
battle having-conquered the in — Italy Greeks

ἐπολιόρκει Ῥήγιον, Γαλάται δὲ κατὰ κράτος ἑλόντες
was-besieging Rhegium Gauls and by force having-taken
αὐτὴν τὴν Ῥώμην κατεῖχον πλὴν τοῦ Καπετωλίου.
the-very — Rome were-holding except the Capitol

6.3 πρὸς οὓς ποιησάμενοι Ῥωμαῖοι σπονδὰς καὶ διαλύσεις
with whom having-made Romans a-treaty and terms
εὐδοκουμένας Γαλάταις καὶ γενόμενοι πάλιν ἀνελπίστως
satisfactory to-Gauls and having-become again unexpectedly
τῆς πατρίδος ἐγκρατεῖς καὶ λαβόντες οἷον ἀρχὴν τῆς
of-the fatherland masters and having-taken as-it-were a-beginning of-the
συναυξήσεως ἐπολέμουν ἐν τοῖς ἑξῆς χρόνοις πρὸς τοὺς
growth they-were-warring in the following times against the
ἀστυγείτονας.
neighbors

6.4 γενόμενοι δ' ἐγκρατεῖς ἁπάντων τῶν Λατίνων διά τε
having-become and masters of-all the Latins through both
τὴν ἀνδρείαν καὶ τὴν ἐν ταῖς μάχαις ἐπιτυχίαν μετὰ
the courage and the in the battles success after
ταῦτ' ἐπολέμουν Τυρρηνοῖς, ἔπειτα Κελτοῖς, ἑξῆς δὲ
these-things they-were-warring with-Etruscans then with-Celts next and
Σαυνίταις τοῖς πρός τε τὰς ἀνατολὰς καὶ τὰς ἄρκτους
with-Samnites those toward both the east and the north
συντερμονοῦσι τῇ τῶν Λατίνων χώρᾳ.
bordering the of-the Latins country

6.5 μετὰ δέ τινα χρόνον Ταραντίνων διὰ τὴν εἰς τοὺς
after and some time Tarentines because-of the toward the
πρεσβευτὰς Ῥωμαίων ἀσέλγειαν καὶ τὸν διὰ ταῦτα
ambassadors of-Romans insolence and the because-of these-things
φόβον ἐπισπασαμένων Πύρρον, τῷ πρότερον ἔτει τῆς
fear having-called-in Pyrrhus in-the before year of-the

τῶν Γαλατῶν ἐφόδου τῶν τε περὶ Δελφοὺς φθαρέντων
of-the Gauls invasion of-those both about Delphi destroyed
καὶ περαιωθέντων εἰς τὴν Ἀσίαν,
and having-crossed to — Asia
Ῥωμαῖοι Τυρρηνοὺς μὲν καὶ Σαυνίτας ὑφ' αὑτοὺς 6.6
Romans Etruscans indeed and Samnites under themselves
πεποιημένοι, τοὺς δὲ κατὰ τὴν Ἰταλίαν Κελτοὺς πολλαῖς
having-made the and in — Italy Celts in-many
μάχαις ἤδη νενικηκότες, τότε πρῶτον ἐπὶ τὰ λοιπὰ
battles already having-conquered then first against the remaining
μέρη τῆς Ἰταλίας ὥρμησαν, οὐχ ὡς ὑπὲρ ἀθνείων, ἐπὶ
parts — of-Italy set-out not as for foreign-things for
δὲ τὸ πλεῖον ὡς ὑπὲρ ἰδίων ἤδη καὶ καθηκόντων σφίσι
and the most as for their-own already and belonging to-them
πολεμήσοντες, ἀθληταὶ γεγονότες ἀληθινοὶ τῶν κατὰ τὸν
to-be-going-to-war athletes having-become true of-the in the
πόλεμον ἔργων ἐκ τῶν πρὸς τοὺς Σαυνίτας καὶ Κελτοὺς
war works from the against the Samnites and Celts
ἀγώνων.
contests
ὑποστάντες δὲ γενναίως τὸν πόλεμον τοῦτον καὶ τὸ 6.7
having-withstood and nobly the war this and the
τελευταῖον τάς τε δυνάμεις καὶ Πύρρον ἐκβαλόντες ἐκ
last the both forces and Pyrrhus having-driven-out from
τῆς Ἰταλίας αὖθις ἐπολέμουν καὶ κατεστρέφοντο τοὺς
— Italy again were-warring and were-subduing those
κοινωνήσαντας Πύρρῳ τῶν πραγμάτων.
having-shared with-Pyrrhus the affairs
γενόμενοι δὲ παραδόξως ἁπάντων ἐγκρατεῖς καὶ 6.8
having-become and unexpectedly of-all masters and
ποιησάμενοι τοὺς τὴν Ἰταλίαν οἰκοῦντας ὑφ' αὑτοὺς πλὴν
having-made those — Italy inhabiting under themselves except

Κελτῶν μετὰ ταῦτα πολιορκεῖν ἐνεχείρησαν τοὺς τότε
Celts after these-things to-besiege they-undertook those then
κατέχοντας τὸ Ῥήγιον Ῥωμαίους.
holding — Rhegium Romans

7.1 ἴδιον γάρ τι συνέβη καὶ παραπλήσιον ἑκατέραις ταῖς
peculiar for something happened and similar to-both the
περὶ τὸν πορθμὸν ἐκτισμέναις πόλεσιν· εἰσὶ δ' αὗται
about the strait founded cities are and these
Μεσσήνη καὶ Ῥήγιον.
Messene and Rhegium

7.2 Μεσσήνην μὲν γὰρ οὐ πολλοῖς ἀνώτερον χρόνοις
Messene indeed for not many earlier times
τῶν νῦν λεγομένων καιρῶν Καμπανοὶ παρ' Ἀγαθοκλεῖ
than-the now spoken-of times Campanians with Agathocles
μισθοφοροῦντες καὶ πάλαι περὶ τὸ κάλλος καὶ τὴν λοιπὴν
serving-as-mercenaries and long about the beauty and the remaining
εὐδαιμονίαν τῆς πόλεως ὀφθαλμιῶντες ἅμα τῷ
prosperity of-the city casting-envious-eyes at-the-same-time with-the
λαβεῖν καιρὸν εὐθὺς ἐπεχείρησαν παρασπονδεῖν·
to-get an-opportunity straightway attempted to-break-faith

7.3 παρεισελθόντες δ' ὡς φίλιοι καὶ κατασχόντες τὴν πόλιν
having-slipped-in and as friends and having-seized the city
οὓς μὲν ἐξέβαλον τῶν πολιτῶν, οὓς δ' ἀπέσφαξαν.
some indeed they-expelled of-the citizens others and they-slaughtered

7.4 πράξαντες δὲ ταῦτα τὰς μὲν γυναῖκας καὶ τὰ τέκνα τῶν
having-done and these-things the indeed wives and the children of-those
ἠκληρηκότων, ὥς ποθ' ἡ τύχη διένειμεν παρ' αὐτὸν τὸν τῆς
having-lost-everything as ever the fortune distributed at the-very — of-the
παρανομίας καιρὸν ἑκάστοις, οὕτως ἔσχον· τοὺς δὲ λοιποὺς
lawlessness moment to-each so they-held the and remaining
βίους καὶ τὴν χώραν μετὰ ταῦτα διελόμενοι κατεῖχον.
livelihoods and the land after these-things having-divided they-held

ταχὺ δὲ καὶ ῥᾳδίως καλῆς χώρας καὶ πόλεως ἐγκρατεῖς 7.5
quickly and and easily of-a-fair land and city masters
γενόμενοι παρὰ πόδας εὗρον μιμητὰς τῆς πράξεως.
having-become at once they-found imitators of-the deed
Ῥηγῖνοι γάρ, καθ' ὃν καιρὸν Πύρρος εἰς Ἰταλίαν ἐπεραιοῦτο, 7.6
Rhegians for at which time Pyrrhus to Italy was-crossing
καταπλαγεῖς γενόμενοι τὴν ἔφοδον αὐτοῦ, δεδιότες δὲ καὶ
terrified-at having-become the invasion his fearing and also
Καρχηδονίους θαλαττοκρατοῦντας ἐπεσπάσαντο φυλακὴν
Carthaginians ruling-the-sea they-called-in a-garrison
ἅμα καὶ βοήθειαν παρὰ Ῥωμαίων.
at-the-same-time and help from Romans
οἱ δ' εἰσελθόντες χρόνον μέν τινα διετήρουν τὴν πόλιν 7.7
they and having-entered time indeed some kept the city
καὶ τὴν ἑαυτῶν πίστιν, ὄντες τετρακισχίλιοι τὸν ἀριθμόν,
and the their-own faith being four-thousand in-the number
ὧν ἡγεῖτο Δέκιος Καμπανός·
whom led Decius the-Campanian
τέλος δὲ ζηλώσαντες τοὺς Μαμερτίνους, ἅμα δὲ καὶ 7.8
finally and having-emulated the Mamertines at-the-same-time and also
συνεργοὺς λαβόντες αὐτοὺς παρεσπόνδησαν τοὺς Ῥηγίνους,
as-accomplices having-taken them they-broke-faith-with the Rhegians
ἐκπαθεῖς ὄντες ἐπί τε τῇ τῆς πόλεως εὐκαιρίᾳ καὶ τῇ
passionate being at both the of-the city convenience and the
τῶν Ῥηγίνων περὶ τοὺς ἰδίους βίους εὐδαιμονίᾳ· καὶ τοὺς
of-the Rhegians in their own livelihoods prosperity and some
μὲν ἐκβαλόντες, τοὺς δ' ἀποσφάξαντες τῶν πολιτῶν
indeed having-expelled others and having-slaughtered of-the citizens
τὸν αὐτὸν τρόπον τοῖς Καμπανοῖς κατέσχον τὴν πόλιν.
in-the same way as-the Campanians they-held the city

7.9 οἱ δὲ Ῥωμαῖοι βαρέως μὲν ἔφερον τὸ γεγονός· οὐ μὴν
the and Romans heavily indeed bore the event not however
εἶχόν γε ποιεῖν οὐδὲν διὰ τὸ συνέχεσθαι τοῖς
they-were-able at-least to-do anything because-of the to-be-held-fast by-the
προειρημένοις πολέμοις.
aforesaid wars

7.10 ἐπεὶ δ' ἀπὸ τούτων ἐγένοντο, συγκλείσαντες αὐτοὺς
when but from these they-were having-shut-in them
ἐπολιόρκουν τὸ Ῥήγιον, καθάπερ ἐπάνω προεῖπον.
they-besieged — Rhegium just-as above I-said-before

7.11 κρατήσαντες δὲ τοὺς μὲν πλείστους ἐν αὐτῇ τῇ καταλήψει
having-prevailed and the indeed most in the-very — capture
διέφθειραν, ἐκθύμως ἀμυνομένους διὰ τὸ προορᾶσθαι τὸ
they-destroyed furiously defending-themselves because-of the to-foresee the
μέλλον, ζωγρίᾳ δ' ἐκυρίευσαν πλειόνων ἢ τριακοσίων.
future alive and they-took-control-of more than three-hundred

7.12 ὧν ἀναπεμφθέντων εἰς τὴν Ῥώμην, οἱ στρατηγοὶ
these having-been-sent-up to — Rome the praetors
προαγαγόντες εἰς τὴν ἀγορὰν καὶ μαστιγώσαντες ἅπαντας
having-led-forth into the forum and having-scourged all
κατὰ τὸ παρ' αὐτοῖς ἔθος ἐπελέκισαν, βουλόμενοι
according-to the among them custom beheaded wishing
διὰ τῆς εἰς ἐκείνους τιμωρίας, καθ' ὅσον οἷοί τ' ἦσαν,
through the on them punishment as-far as able — they-were
διορθοῦσθαι παρὰ τοῖς συμμάχοις τὴν αὑτῶν πίστιν.
to-restore among the allies the their-own good-faith

7.13 τὴν δὲ χώραν καὶ τὴν πόλιν παραχρῆμα τοῖς Ῥηγίνοις
the and land and the city immediately to-the Rhegians
ἀπέδοσαν.
they-gave-back

οἱ δὲ Μαμερτῖνοι — τοῦτο γὰρ τοὔνομα κυριεύσαντες οἱ 8.1
the and Mamertines this for the-name having-become-masters the
Καμπανοὶ τῆς Μεσσήνης προσηγόρευσαν σφᾶς αὐτούς —
Campanians — of-Messene called them selves
ἕως μὲν συνεχρῶντο τῇ τῶν Ῥωμαίων συμμαχίᾳ τῶν
so-long-as indeed they-enjoyed the of-the Romans alliance of-those
τὸ Ῥήγιον κατασχόντων, οὐ μόνον τῆς ἑαυτῶν πόλεως καὶ
— Rhegium having-seized not only of-the their-own city and
χώρας ἀσφαλῶς κατεκράτουν, ἀλλὰ καὶ περὶ τῆς συνορούσης
land securely were-masters but also about the bordering
οὐχ ὡς ἔτυχε παρηνώχλουν τοῖς τε Καρχηδονίοις καὶ τοῖς
not as it-chanced were-troubling the both Carthaginians and the
Συρακοσίοις καὶ πολλὰ μέρη τῆς Σικελίας ἐφορολόγουν.
Syracusans and many parts — of-Sicily were-laying-under-tribute
ἐπεὶ δ' ἐστερήθησαν τῆς προειρημένης ἐπικουρίας, 8.2
when but they-were-deprived of-the aforesaid help
συγκλεισθέντων τῶν τὸ Ῥήγιον κατεχόντων εἰς τὴν
having-been-shut-in those — Rhegium holding into the
πολιορκίαν, παρὰ πόδας ὑπὸ τῶν Συρακοσίων αὐτοὶ
siege at once by the Syracusans they-themselves
πάλιν συνεδιώχθησαν εἰς τὴν πόλιν διά τινας τοιαύτας αἰτίας.
again were-driven-together into the city for some such causes
χρόνοις οὐ πολλοῖς πρότερον αἱ δυνάμεις τῶν Συρακοσίων 8.3
times not many before the forces of-the Syracusans
διενεχθεῖσαι πρὸς τοὺς ἐν τῇ πόλει καὶ διατρίβουσαι
having-quarreled with those in the city and spending-time
περὶ τὴν Μεργάνην κατέστησαν ἐξ αὑτῶν ἄρχοντας,
about — Mergane appointed from themselves commanders
Ἀρτεμίδωρόν τε καὶ τὸν μετὰ ταῦτα βασιλεύσαντα τῶν
Artemidorus both and the-one after these-things having-reigned of-the

Συρακοσίων Ἱέρωνα, νέον μὲν ὄντα κομιδῇ, πρὸς δέ τι
Syracusans Hiero young indeed being quite toward and some
γένος εὐφυῆ βασιλικῆς καὶ πραγματικῆς οἰκονομίας.
kind gifted of-royal and practical management

8.4 ὁ δὲ παραλαβὼν τὴν ἀρχὴν καὶ παρεισελθὼν εἰς
he and having-received the command and having-slipped-in into
τὴν πόλιν διά τινων οἰκείων καὶ κύριος γενόμενος
the city through some kinsmen and master having-become
τῶν ἀντιπολιτευομένων οὕτως ἐχρήσατο πράως καὶ
of-the political-opponents so dealt gently and
μεγαλοψύχως τοῖς πράγμασιν, ὥστε τοὺς Συρακοσίους,
magnanimously with-the affairs that the Syracusans
καίπερ οὐδαμῶς εὐδοκουμένους ἐπὶ ταῖς τῶν στρατιωτῶν
although in-no-way being-pleased at the of-the soldiers
ἀρχαιρεσίαις, τότε πάντας ὁμοθυμαδὸν εὐδοκῆσαι στρατηγὸν
elections then all with-one-accord to-approve general
αὑτῶν ὑπάρχειν Ἱέρωνα.
theirs to-be Hiero

8.5 ὃς ἐκ τῶν πρώτων ἐπινοημάτων εὐθέως δῆλος ἦν τοῖς
who from the first designs straightway clear was to-those
ὀρθῶς σκοπουμένοις μειζόνων ὀρεγόμενος ἐλπίδων ἢ
rightly considering greater reaching-for hopes than
κατὰ τὴν στρατηγίαν.
according-to the generalship

9.1 θεωρῶν γὰρ τοὺς Συρακοσίους, ἐπειδὰν ἐκπέμψωσι τὰς
seeing for the Syracusans whenever they-send-out the
δυνάμεις καὶ τοὺς ἄρχοντας μετὰ τῶν δυνάμεων, αὐτοὺς
forces and the commanders with the forces themselves
ἐν αὑτοῖς στασιάζοντας καὶ καινοτομοῦντας αἰεί τι,
among themselves quarreling and innovating always something

τὸν δὲ Λεπτίνην εἰδὼς καὶ τῇ προστασίᾳ καὶ τῇ πίστει 9.2
— *and Leptines knowing both in-the leadership and in-the trust*
πολὺ διαφέροντα τῶν ἄλλων πολιτῶν, εὐδοκιμοῦντα δὲ
much surpassing the other citizens being-well-thought-of and
καὶ παρὰ τῷ πλήθει διαφερόντως, συνάπτεται κηδείαν
also with the multitude exceptionally he-contracts a-marriage-alliance
πρὸς αὐτόν, βουλόμενος οἷον ἐφεδρείαν ἀπολιπεῖν ἐν τῇ
with him wishing as-it-were a-reserve to-leave in the
πόλει τοῦτον, ὅτ᾽ αὐτὸν ἐξιέναι δέοι μετὰ τῶν
city this-man when him to-go-out it-should-be-needful with the
δυνάμεων ἐπὶ τὰς πράξεις.
forces on the operations
γήμας δὲ τὴν θυγατέρα τοῦ προειρημένου καὶ 9.3
having-married and the daughter of-the aforesaid and
συνθεωρῶν τοὺς ἀρχαίους μισθοφόρους καχέκτας ὄντας
observing the old mercenaries disaffected being
καὶ κινητικοὺς ἐξάγει στρατείαν ὡς ἐπὶ τοὺς βαρβάρους
and restless he-leads-out an-expedition as against the barbarians
τοὺς τὴν Μεσσήνην κατασχόντας.
those — Messene having-seized
ἀντιστρατοπεδεύσας δὲ περὶ Κεντόριπα καὶ παραταξάμενος 9.4
having-encamped-opposite and about Centoripa and having-drawn-up
περὶ τὸν Κυαμόσωρον ποταμὸν τοὺς μὲν πολιτικοὺς
about the Cyamosorus river the indeed citizen
ἱππεῖς καὶ πεζοὺς αὐτὸς ἐν ἀποστήματι συνεῖχεν, ὡς κατ᾽
horsemen and foot himself at a-distance kept as at
ἄλλον τόπον τοῖς πολεμίοις συμμίξων, τοὺς δὲ ξένους
another place with-the enemy to-be-going-to-engage the but mercenaries
προβαλόμενος εἴασε πάντας ὑπὸ τῶν βαρβάρων διαφθαρῆναι·
having-put-forward he-let all by the barbarians to-be-destroyed

9.5 κατὰ δὲ τὸν τῆς ἐκείνων τροπῆς καιρὸν ἀσφαλῶς αὐτὸς
at and the of-the their rout moment safely he-himself
ἀπεχώρησεν μετὰ τῶν πολιτῶν εἰς τὰς Συρακούσας.
withdrew with the citizens to — Syracuse

9.6 συντελεσάμενος δὲ τὸ προκείμενον πραγματικῶς καὶ
having-accomplished and the purpose practically and
παρῃρηκὼς πᾶν τὸ κινητικὸν καὶ στασιῶδες τῆς δυνάμεως,
having-removed all the restless and seditious-element of-the force
ξενολογήσας δι᾽ αὑτοῦ πλῆθος ἱκανὸν μισθοφόρων,
having-recruited-mercenaries through himself a-number sufficient of-mercenaries
ἀσφαλῶς ἤδη τὰ κατὰ τὴν ἀρχὴν διεξῆγεν.
safely now the-things concerning the rule he-conducted

9.7 θεωρῶν δὲ τοὺς βαρβάρους ἐκ τοῦ προτερήματος
seeing and the barbarians from the success
θρασέως καὶ προπετῶς ἀναστρεφομένους, καθοπλίσας καὶ
boldly and rashly behaving having-armed and
γυμνάσας ἐνεργῶς τὰς πολιτικὰς δυνάμεις ἐξῆγεν καὶ
having-trained vigorously the citizen forces he-led-out and
συμβάλλει τοῖς πολεμίοις ἐν τῷ Μυλαίῳ πεδίῳ περὶ τὸν
engages the enemy in the Mylaean plain about the
Λογγανὸν καλούμενον ποταμόν.
Longanus called river

9.8 τροπὴν δὲ ποιήσας αὐτῶν ἰσχυρὰν καὶ τῶν ἡγεμόνων
a-rout and having-made of-them strong and of-the leaders
ἐγκρατὴς γενόμενος ζωγρίᾳ τὴν μὲν τῶν βαρβάρων
master having-become alive the indeed of-the barbarians
κατέπαυσε τόλμαν, αὐτὸς δὲ παραγενόμενος εἰς τὰς
he-stopped daring himself and having-arrived at —
Συρακούσας βασιλεὺς ὑπὸ πάντων προσηγορεύθη τῶν
Syracuse king by all was-called the
συμμάχων.
allies

οἱ δὲ Μαμερτῖνοι πρότερον μὲν ἐστερημένοι τῆς ἐπικουρίας 10.1
the and Mamertines before indeed having-been-deprived of-the help
τῆς ἐκ τοῦ Ῥηγίου, καθάπερ ἀνώτερον εἶπον, τότε δὲ
the from — Rhegium just-as higher-up I-said then and
τοῖς ἰδίοις πράγμασιν ἐπταικότες ὁλοσχερῶς διὰ τὰς
in-the own affairs having-failed utterly because-of the
νῦν ῥηθείσας αἰτίας, οἱ μὲν ἐπὶ Καρχηδονίους κατέφευγον
now spoken causes some indeed to Carthaginians fled
καὶ τούτοις ἐνεχείριζον σφᾶς αὐτοὺς καὶ τὴν ἄκραν,
and to-these were-entrusting them selves and the citadel
οἱ δὲ πρὸς Ῥωμαίους ἐπρέσβευον, παραδιδόντες τὴν 10.2
others and to Romans sent-envoys handing-over the
πόλιν καὶ δεόμενοι βοηθήσειν σφίσιν αὐτοῖς ὁμοφύλοις
city and asking to-help for-them selves of-the-same-race
ὑπάρχουσιν.
being
Ῥωμαῖοι δὲ πολὺν μὲν χρόνον ἠπόρησαν διὰ τὸ δοκεῖν 10.3
Romans and long indeed time were-at-a-loss because-of the to-seem
ἐξόφθαλμον εἶναι τὴν ἀλογίαν τῆς βοηθείας.
glaring to-be the unreasonableness of-the help
τὸ γὰρ μικρῷ πρότερον τοὺς ἰδίους πολίτας μετὰ 10.4
the for a-little before the own citizens with
τῆς μεγίστης ἀνῃρηκότας τιμωρίας, ὅτι Ῥηγίνους
the greatest having-destroyed punishment because Rhegians
παρεσπόνδησαν, παραχρῆμα Μαμερτίνοις βοηθεῖν ζητεῖν
they-betrayed immediately Mamertines to-help to-seek
τοῖς τὰ παραπλήσια πεποιηκόσιν οὐ μόνον εἰς τὴν
those the like-things having-done not only toward the
Μεσσηνίων, ἀλλὰ καὶ τὴν Ῥηγίνων πόλιν, δυσαπολόγητον
of-Messenians but also the of-Rhegians city hard-to-excuse
εἶχε τὴν ἁμαρτίαν.
it-had the error

10.5 οὐ μὴν ἀγνοοῦντές γε τούτων οὐδέν, θεωροῦντες δὲ
not however being-ignorant at-least of-these anything seeing but
τοὺς Καρχηδονίους οὐ μόνον τὰ κατὰ τὴν Λιβύην,
the Carthaginians not only the-things in — Libya
ἀλλὰ καὶ τῆς Ἰβηρίας ὑπήκοα πολλὰ μέρη πεποιημένους,
but also — of-Iberia subject many parts having-made
ἔτι δὲ τῶν νήσων ἁπασῶν ἐγκρατεῖς ὑπάρχοντας τῶν
further and of-the islands all masters being of-the
κατὰ τὸ Σαρδόνιον καὶ Τυρρηνικὸν πέλαγος, ἠγωνίων,
in the Sardinian and Tyrrhenian sea they-were-anxious
εἰ Σικελίας ἔτι κυριεύσαιεν,
if of-Sicily also they-should-become-masters
10.6 μὴ λίαν βαρεῖς καὶ φοβεροὶ γείτονες αὐτοῖς ὑπάρχοιεν,
lest too heavy and fearsome neighbors to-them they-might-be
κύκλῳ σφᾶς περιέχοντες καὶ πᾶσι τοῖς τῆς Ἰταλίας
in-a-circle them encompassing and all the — of-Italy
μέρεσιν ἐπικείμενοι.
parts threatening
10.7 διότι δὲ ταχέως ὑφ' αὑτοὺς ποιήσονται τὴν Σικελίαν, μὴ
that and quickly under themselves they-will-make — Sicily not
τυχόντων ἐπικουρίας τῶν Μαμερτίνων, προφανὲς ἦν.
having-got help the Mamertines evident it-was
10.8 κρατήσαντες γὰρ ἐγχειριζομένης αὐτοῖς τῆς Μεσσήνης
having-mastered for being-handed-over to-them — Messene
ἔμελλον ἐν ὀλίγῳ χρόνῳ τὰς Συρακούσας ἐπανελέσθαι
they-were-about in little time — Syracuse to-take-away
διὰ τὸ πάσης σχεδὸν δεσπόζειν τῆς ἄλλης Σικελίας.
because-of the all nearly to-be-lord-of the other Sicily
10.9 ὃ προορώμενοι Ῥωμαῖοι καὶ νομίζοντες ἀναγκαῖον εἶναι
which foreseeing Romans and thinking necessary to-be
σφίσι τὸ μὴ προέσθαι τὴν Μεσσήνην μηδ' ἐᾶσαι
for-themselves the not to-abandon — Messene nor to-allow

Καρχηδονίους οἱονεὶ γεφυρῶσαι τὴν εἰς Ἰταλίαν αὐτοῖς
Carthaginians as-it-were to-bridge the to Italy for-them
διάβασιν,
crossing
πολὺν μὲν χρόνον ἐβουλεύσαντο, καὶ τὸ μὲν συνέδριον 11.1
long indeed time they-deliberated and the indeed council
οὐδ' εἰς τέλος ἐκύρωσε τὴν γνώμην διὰ τὰς ἄρτι
not-even to end ratified the opinion because-of the just-now
ῥηθείσας αἰτίας. ἐδόκει γὰρ τὰ περὶ τὴν ἀλογίαν
spoken causes it-seemed for the-things about the unreasonableness
τῆς τοῖς Μαμερτίνοις ἐπικουρίας ἰσορροπεῖν τοῖς ἐκ
of-the to-the Mamertines help to-balance the-things from
τῆς βοηθείας συμφέρουσιν.
the help advantageous
οἱ δὲ πολλοὶ τετρυμένοι μὲν ὑπὸ τῶν προγεγονότων 11.2
the but many worn-out indeed by the former
πολέμων καὶ προσδεόμενοι παντοδαπῆς ἐπανορθώσεως,
wars and needing-besides every-kind-of restoration
ἅμα δὲ τοῖς ἄρτι ῥηθεῖσι περὶ τοῦ κοινῇ
at-the-same-time and with-the just-now said about the in-common
συμφέρειν τὸν πόλεμον καὶ κατ' ἰδίαν ἑκάστοις ὠφελείας
to-be-advantageous the war and in private for-each benefits
προδήλους καὶ μεγάλας ὑποδεικνυόντων τῶν στρατηγῶν,
obvious and great pointing-out the generals
ἔκριναν βοηθεῖν.
decided to-help
κυρωθέντος δὲ τοῦ δόγματος ὑπὸ τοῦ δήμου, 11.3
having-been-ratified and the decree by the people
προχειρισάμενοι τὸν ἕτερον τῶν ὑπάτων στρατηγὸν
having-appointed the one of-the consuls as-general

Ἄππιον Κλαύδιον ἐξαπέστειλαν, κελεύσαντες βοηθεῖν καὶ
Appius Claudius they-sent-out having-ordered-(him) to-help and
διαβαίνειν εἰς Μεσσήνην.
to-cross to Messene

11.4 οἱ δὲ Μαμερτῖνοι τὸν μὲν τῶν Καρχηδονίων στρατηγὸν
the and Mamertines the indeed of-the Carthaginians general
ἤδη κατέχοντα τὴν ἄκραν ἐξέβαλον, τὰ μὲν
already holding the citadel expelled partly indeed
καταπληξάμενοι, τὰ δὲ παραλογισάμενοι· τὸν δ' Ἄππιον
having-terrified partly and having-tricked — and Appius
ἐπεσπῶντο καὶ τούτῳ τὴν πόλιν ἐνεχείριζον.
they-called-in and to-this-man the city were-entrusting

11.5 Καρχηδόνιοι δὲ τὸν μὲν στρατηγὸν αὐτῶν ἀνεσταύρωσαν,
Carthaginians and the indeed general their crucified
νομίσαντες αὐτὸν ἀβούλως, ἅμα δ' ἀνάνδρως
thinking him thoughtlessly at-the-same-time and unmanfully
προέσθαι τὴν ἀκρόπολιν·
to-have-given-up the acropolis

11.6 αὐτοὶ δὲ τῇ μὲν ναυτικῇ δυνάμει περὶ Πελωριάδα
themselves and with-the indeed naval force about Pelorias
στρατοπεδεύσαντες, τῷ δὲ πεζῷ στρατεύματι περὶ τὰς
having-encamped with-the and land army about —
Σύνεις καλουμένας ἐνεργῶς προσέκειντο τῇ Μεσσήνῃ.
Syneis called vigorously pressed-upon — Messene

11.7 κατὰ δὲ τὸν καιρὸν τοῦτον Ἱέρων νομίσας εὐφυῶς ἔχειν
at and the time this Hiero having-thought favorably to-be
τὰ παρόντα πρὸς τὸ τοὺς βαρβάρους τοὺς τὴν Μεσσήνην
the present-things for the the barbarians those — Messene
κατέχοντας ὁλοσχερῶς ἐκβαλεῖν ἐκ τῆς Σικελίας, τίθεται
holding utterly to-drive-out from — Sicily makes
πρὸς τοὺς Καρχηδονίους συνθήκας.
with the Carthaginians a-treaty

καὶ μετὰ ταῦτ᾽ ἀναζεύξας ἐκ τῶν Συρακουσῶν 11.8
and after these-things having-broken-camp from — Syracuse
ἐποιεῖτο τὴν πορείαν ἐπὶ τὴν προειρημένην πόλιν·
he-made the march to the aforesaid city
καταστρατοπεδεύσας δ᾽ ἐκ θατέρου μέρους περὶ τὸ
having-encamped and from the-other side about the
Χαλκιδικὸν ὄρος καλούμενον ἀπέκλεισε καὶ ταύτης τῆς
Chalcidian mount called he-shut-off also from-this the
ἐξόδου τοὺς ἐν τῇ πόλει.
exit those in the city
ὁ δὲ στρατηγὸς τῶν Ῥωμαίων Ἄππιος νυκτὸς καὶ 11.9
the and general of-the Romans Appius by-night and
παραβόλως περαιωθεὶς τὸν πορθμὸν ἦκεν εἰς τὴν
recklessly having-crossed the strait came to —
Μεσσήνην.
Messene
ὁρῶν δὲ πανταχόθεν ἐνεργῶς προσηρεικότας τοὺς 11.10
seeing and from-all-sides vigorously pressing-hard the
πολεμίους καὶ συλλογισάμενος ἅμα μὲν αἰσχράν,
enemy and having-reasoned at-the-same-time indeed shameful
ἅμα δ᾽ ἐπισφαλῆ γίνεσθαι τὴν πολιορκίαν αὐτῷ, τῆς
at-the-same-time and perilous to-become the siege for-him of-the
τε γῆς τῶν πολεμίων ἐπικρατούντων καὶ τῆς θαλάττης,
both land the enemy holding-mastery and of-the sea
τὸ μὲν πρῶτον διεπρεσβεύετο πρὸς ἀμφοτέρους, βουλόμενος 11.11
the indeed first he-negotiated with both wishing
ἐξελέσθαι τοῦ πολέμου τοὺς Μαμερτίνους·
to-remove from-the war the Mamertines
οὐδενὸς δὲ προσέχοντος αὐτῷ, τέλος ἐπαναγκαζόμενος 11.12
no-one but heeding him finally being-compelled
ἔκρινε διακινδυνεύειν καὶ πρῶτον ἐγχειρεῖν τοῖς Συρακοσίοις.
he-decided to-run-the-risk and first to-attack the Syracusans

11.13 ἐξαγαγὼν δὲ τὴν δύναμιν παρέταξε πρὸς μάχην, ἑτοίμως
having-led-out and the force he-drew-up for battle readily
εἰς τὸν ἀγῶνα συγκαταβάντος αὐτῷ καὶ τοῦ τῶν
into the contest having-come-down-together with-him also the of-the
Συρακοσίων βασιλέως·
Syracusans king

11.14 ἐπὶ πολὺν δὲ χρόνον διαγωνισάμενος ἐπεκράτησεν τῶν
for long and time having-fought he-prevailed-over the
πολεμίων καὶ κατεδίωξε τοὺς ὑπεναντίους ἕως εἰς τὸν
enemy and pursued the opponents as-far into the
χάρακα πάντας.
palisade all

11.15 Ἄππιος μὲν οὖν σκυλεύσας τοὺς νεκροὺς ἐπανῆλθεν
Appius indeed therefore having-stripped the dead returned
πάλιν εἰς τὴν Μεσσήνην. ὁ δ' Ἱέρων ὀττευσάμενός τι
again into — Messene — but Hiero having-divined something
περὶ τῶν ὅλων πραγμάτων, ἐπιγενομένης τῆς νυκτὸς
about the whole affairs having-come-on the night
ἀνεχώρησε κατὰ σπουδὴν εἰς τὰς Συρακούσας.
withdrew in haste to — Syracuse

12.1 τῇ δὲ κατὰ πόδας ἡμέρᾳ γνοὺς Ἄππιος τὴν ἀπόλυσιν
on-the and at-the heels day having-learned Appius the departure
τῶν προειρημένων καὶ γενόμενος εὐθαρσὴς ἔκρινε μὴ
of-the aforesaid and having-become confident decided not
μέλλειν, ἀλλ' ἐγχειρεῖν τοῖς Καρχηδονίοις.
to-delay but to-attack the Carthaginians

12.2 παραγγείλας οὖν τοῖς στρατιώταις ἐν ὥρᾳ γίνεσθαι τὴν
having-ordered therefore the soldiers at the-hour to-be the
θεραπείαν, ἅμα τῷ φωτὶ τὴν ἔξοδον ἐποιεῖτο.
care-of-their-bodies at-the-same-time with-the light the sally he-made

συμβαλὼν δὲ τοῖς ὑπεναντίοις πολλοὺς μὲν αὐτῶν 12.3
having-engaged and the opponents many indeed of-them
ἀπέκτεινε, τοὺς δὲ λοιποὺς ἠνάγκασε φυγεῖν προτροπάδην
he-killed the and rest he-compelled to-flee headlong
εἰς τὰς παρακειμένας πόλεις.
into the neighboring cities
χρησάμενος δὲ τοῖς εὐτυχήμασι τούτοις καὶ λύσας τὴν 12.4
having-used and the successes these and having-raised the
πολιορκίαν, λοιπὸν ἐπιπορευόμενος ἀδεῶς ἐπόρθει τήν τε
siege thereafter advancing fearlessly he-ravaged the both
τῶν Συρακοσίων καὶ τὴν τῶν συμμαχούντων αὐτοῖς χώραν,
of-the Syracusans and the of-those allied to-them country
οὐδενὸς ἀντιποιουμένου τῶν ὑπαίθρων· τὸ δὲ τελευταῖον
no-one contesting the open-country the and last
προσκαθίσας αὐτὰς ἐπεβάλετο πολιορκεῖν τὰς Συρακούσας.
having-sat-down-before it he-undertook to-besiege — Syracuse
ἡ μὲν οὖν πρώτη Ῥωμαίων ἐκ τῆς Ἰταλίας διάβασις 12.5
the indeed therefore first of-Romans from — Italy crossing
μετὰ δυνάμεως ἥδε καὶ διὰ ταῦτα καὶ κατὰ τούτους
with force this-was and for these-reasons and at these
ἐγένετο τοὺς καιρούς,
happened the times
ἣν οἰκειοτάτην κρίναντες ἀρχὴν εἶναι τῆς ὅλης 12.6
which most-proper having-judged a-beginning to-be of-the whole
προθέσεως, ἀπὸ ταύτης ἐποιησάμεθα τὴν ἐπίστασιν,
purpose from this we-made the starting-point
ἀναδραμόντες ἔτι τοῖς χρόνοις τοῦ μηδὲν ἀπόρημα
having-run-back still in-the times for-the nothing perplexity
καταλιπεῖν ὑπὲρ τῶν κατὰ τὰς αἰτίας ἀποδείξεων.
to-leave about the regarding the causes demonstrations

12.7 τῷ γὰρ πῶς καὶ πότε πταίσαντες αὐτῇ τῇ πατρίδι
the for how and when having-been-defeated in-the-very — fatherland
Ῥωμαῖοι τῆς ἐπὶ τὸ βέλτιον ἤρξαντο προκοπῆς καὶ πότε
Romans of-the toward the better began advance and when
πάλιν καὶ πῶς κρατήσαντες τῶν κατὰ τὴν Ἰταλίαν
again and how having-mastered the-things in — Italy
τοῖς ἐκτὸς ἐπιχειρεῖν ἐπεβάλοντο πράγμασιν, ἀναγκαῖον
the outside to-attack they-undertook affairs necessary
ὑπελάβομεν εἶναι παρακολουθῆσαι τοῖς μέλλουσι καὶ τὸ
we-supposed to-be to-follow for-those intending also the
κεφάλαιον αὐτῶν τῆς νῦν ὑπεροχῆς δεόντως συνόψεσθαι.
sum of-them the present preeminence duly to-survey

12.8 διόπερ οὐ χρὴ θαυμάζειν οὐδ' ἐν τοῖς ἑξῆς, ἐάν που
wherefore not one-must to-wonder even in the following if anywhere
προσανατρέχωμεν τοῖς χρόνοις περὶ τῶν ἐπιφανεστάτων
we-run-back in-the times about the most-famous
πολιτευμάτων.
polities

12.9 τοῦτο γὰρ ποιήσομεν χάριν τοῦ λαμβάνειν ἀρχὰς
this for we-shall-do for-the-sake of-the to-take beginnings
τοιαύτας, ἐξ ὧν ἔσται σαφῶς κατανοεῖν ἐκ
such from which it-will-be-possible clearly to-understand from
τίνων ἕκαστοι καὶ πότε καὶ πῶς ὁρμηθέντες εἰς ταύτας
what each and when and how having-set-out into these
παρεγένοντο τὰς διαθέσεις, ἐν αἷς ὑπάρχουσι νῦν. ὃ
arrived the conditions in which they-are now which
δὴ καὶ περὶ Ῥωμαίων ἄρτι πεποιήκαμεν.
indeed also about Romans just-now we-have-done

Polybius narrates the first war between Rome and Carthage at length because no war was longer or fuller of reversals, and because its historians, Philinus and Fabius, are each partisan: a historian must praise enemies and blame friends as the deeds demand, since history without truth is a creature without eyes, and Philinus's own account of Messene contradicts itself. When both consuls cross, Sicilian cities defect and Hiero becomes Rome's ally. The Carthaginians gather mercenaries at Agrigentum and the Romans besiege it; after five months Hanno takes Herbesus and cuts off their supplies, so that the besiegers are besieged in turn, kept alive only by what Hiero sends.

ἀφεμένους δὲ τούτων λέγειν ὥρα περὶ τῶν προκειμένων, 13.1
having-let-go and these to-speak it-is-time about the matters-proposed
ἐπὶ βραχὺ καὶ κεφαλαιωδῶς προεκθεμένους τὰς ἐν τῇ
for a-little and summarily having-set-out-beforehand the in the
προκατασκευῇ πράξεις.
preparatory-account deeds
ὧν εἰσι πρῶται κατὰ τὴν τάξιν αἱ γενόμεναι Ῥωμαίοις 13.2
of-which are first by the order the having-happened to-Romans
καὶ Καρχηδονίοις ἐν τῷ περὶ Σικελίας πολέμῳ.
and Carthaginians in the about Sicily war
ταύταις συνεχὴς ὁ Λιβυκὸς πόλεμος· ᾧ συνάπτει 13.3
with-these continuous the Libyan war with-which connects
τὰ κατ᾽ Ἰβηρίαν Ἀμίλκᾳ, μετὰ δὲ τοῦτον Ἀσδρούβᾳ
the-things in Iberia by-Hamilcar after and him by-Hasdrubal
πραχθέντα καὶ Καρχηδονίοις.
done and by-Carthaginians
οἷς ἐγένετο κατὰ τὸν αὐτὸν καιρὸν ἡ πρώτη 13.4
with-which happened at the same time the first
Ῥωμαίων διάβασις εἰς τὴν Ἰλλυρίδα καὶ ταῦτα τὰ μέρη
of-Romans crossing into — Illyria and these the parts

τῆς Εὐρώπης, ἐπὶ δὲ τοῖς προειρημένοις οἱ πρὸς τοὺς
— *of-Europe upon and the aforesaid the against the*
ἐν Ἰταλίᾳ Κελτοὺς ἀγῶνες.
in Italy Celts contests

13.5 τούτοις δὲ κατὰ τὸν αὐτὸν καιρὸν παρὰ τοῖς Ἕλλησιν
with-these and at the same time among the Greeks
ὁ Κλεομενικὸς καλούμενος ἐνηργεῖτο πόλεμος, εἰς ὃν
the Cleomenic called was-being-waged war into which
καὶ τὴν καταστροφὴν ἐποιησάμεθα τῆς ὅλης κατασκευῆς
also the ending we-made of-the whole preparatory-account
καὶ τῆς δευτέρας βύβλου.
and of-the second book

13.6 τὸ μὲν οὖν ἐξαριθμεῖσθαι τὰ κατὰ μέρος ὑπὲρ τῶν
the indeed therefore to-enumerate the-things in part about the
προειρημένων πράξεων οὐδὲν οὔθ' ἡμῖν ἀναγκαῖον οὔτε
aforesaid deeds nothing neither to-us necessary nor
τοῖς ἀκούουσι χρήσιμον.
to-those hearing useful

13.7 οὐ γὰρ ἱστορεῖν ὑπὲρ αὐτῶν προτιθέμεθα, μνησθῆναι δὲ
not for to-write-history about them we-propose to-mention but
κεφαλαιωδῶς προαιρούμεθα χάριν τῆς προκατασκευῆς
summarily we-choose for-the-sake of-the preparatory-account
τῶν μελλουσῶν ὑφ' ἡμῶν ἱστορεῖσθαι πράξεων.
of-the about-to by us to-be-narrated deeds

13.8 διόπερ ἐπὶ κεφαλαίων ψαύοντες κατὰ τὸ συνεχὲς τῶν
wherefore on main-points touching in the continuity of-the
προειρημένων πειρασόμεθα συνάψαι τὴν τελευτὴν τῆς
aforesaid we-shall-try to-join the end of-the
προκατασκευῆς τῇ τῆς ἡμετέρας ἱστορίας ἀρχῇ καὶ
preparatory-account to-the of-the our history beginning and
προθέσει.
purpose

τοῦτον γὰρ τὸν τρόπον συνεχοῦς γινομένης τῆς διηγήσεως, 13.9
this for the way continuous becoming the narrative
ἡμεῖς τε δόξομεν εὐλόγως ἐφάπτεσθαι τῶν ἤδη
we both shall-seem reasonably to-touch-on the-things already
προϊστορημένων ἑτέροις, τοῖς τε φιλομαθοῦσιν ἐκ τῆς
previously-narrated by-others to-those both loving-learning from the
τοιαύτης οἰκονομίας εὐμαθῆ καὶ ῥᾳδίαν ἐπὶ τὰ
such arrangement easy-to-learn and easy toward the-things
μέλλοντα ῥηθήσεσθαι παρασκευάσομεν τὴν ἔφοδον.
being-about to-be-told we-shall-prepare the approach
βραχὺ δ' ἐπιμελέστερον πειρασόμεθα διελθεῖν ὑπὲρ τοῦ 13.10
a-little but more-carefully we-shall-try to-go-through about the
πρώτου συστάντος πολέμου Ῥωμαίοις καὶ Καρχηδονίοις
first having-arisen war for-Romans and Carthaginians
περὶ Σικελίας.
about Sicily
οὔτε γὰρ πολυχρονιώτερον τούτου πόλεμον εὑρεῖν ῥᾴδιον 13.11
neither for longer than-this a-war to-find easy
οὔτε παρασκευὰς ὁλοσχερεστέρας οὔτε συνεχεστέρας πράξεις
nor preparations more-complete nor more-continuous actions
οὔτε πλείους ἀγῶνας οὔτε περιπετείας μείζους τῶν
nor more contests nor reversals greater than-the-things
ἐν τῷ προειρημένῳ πολέμῳ συμβάντων ἑκατέροις.
in the aforesaid war having-befallen to-each-side
αὐτά τε τὰ πολιτεύματα κατ' ἐκείνους τοὺς καιροὺς 13.12
the-very both — polities in those the times
ἀκμὴν ἀκέραια μὲν ἦν τοῖς ἐθισμοῖς, μέτρια δὲ ταῖς
still unimpaired indeed were in-the customs moderate and in-the
τύχαις, πάρισα δὲ ταῖς δυνάμεσιν.
fortunes nearly-equal and in-the forces

13.13 διὸ καὶ τοῖς βουλομένοις καλῶς συνθεάσασθαι τὴν
wherefore also for-those wishing well to-observe the
ἑκατέρου τοῦ πολιτεύματος ἰδιότητα καὶ δύναμιν οὐχ
of-each of-the polity peculiarity and power not
οὕτως ἐκ τῶν ἐπιγενομένων πολέμων ὡς ἐκ τούτου
so from the subsequent wars as from this
ποιητέον τὴν σύγκρισιν.
one-must-make the comparison

14.1 οὐχ ἧττον δὲ τῶν προειρημένων παρωξύνθην ἐπιστῆσαι
not less and than-the aforesaid-reasons I-was-moved to-attend
τούτῳ τῷ πολέμῳ καὶ διὰ τὸ τοὺς ἐμπειρότατα
to-this the war also because-of the those most-expertly
δοκοῦντας γράφειν ὑπὲρ αὐτοῦ, Φιλῖνον καὶ Φάβιον, μὴ
seeming to-write about it Philinus and Fabius not
δεόντως ἡμῖν ἀπηγγελκέναι τὴν ἀλήθειαν.
duly to-us to-have-reported the truth

14.2 ἑκόντας μὲν οὖν ἐψεῦσθαι τοὺς ἄνδρας οὐχ ὑπολαμβάνω,
willingly indeed therefore to-have-lied the men not I-suppose
στοχαζόμενος ἐκ τοῦ βίου καὶ τῆς αἱρέσεως αὐτῶν· δοκοῦσι
conjecturing from the life and the principle of-them they-seem
δέ μοι πεπονθέναι τι παραπλήσιον τοῖς ἐρῶσι.
and to-me to-have-suffered something similar to-those loving

14.3 διὰ γὰρ τὴν αἵρεσιν καὶ τὴν ὅλην εὔνοιαν Φιλίνῳ
because-of for the partisanship and the whole goodwill to-Philinus
μὲν πάντα δοκοῦσιν οἱ Καρχηδόνιοι πεπρᾶχθαι φρονίμως,
indeed all seem the Carthaginians to-have-acted wisely
καλῶς, ἀνδρωδῶς, οἱ δὲ Ῥωμαῖοι τἀναντία, Φαβίῳ δὲ
well manfully the and Romans the-opposite to-Fabius and
τοὔμπαλιν τούτων.
the-reverse of-these

ἐν μὲν οὖν τῷ λοιπῷ βίῳ τὴν τοιαύτην ἐπιείκειαν 14.4
in indeed therefore the rest-of life the such fairness
ἴσως οὐκ ἄν τις ἐκβάλλοι· καὶ γὰρ φιλόφιλον εἶναι
perhaps not — anyone would-reject and for fond-of-friends to-be
δεῖ τὸν ἀγαθὸν ἄνδρα καὶ φιλόπατριν καὶ συμμισεῖν
it-is-needful the good man and fond-of-country and to-hate-with
τοῖς φίλοις τοὺς ἐχθροὺς καὶ συναγαπᾶν τοὺς φίλους·
the friends the enemies and to-love-with the friends
ὅταν δὲ τὸ τῆς ἱστορίας ἦθος ἀναλαμβάνῃ τις, 14.5
when but the of-the history character takes-up anyone
ἐπιλαθέσθαι χρὴ πάντων τῶν τοιούτων καὶ πολλάκις
to-forget one-must all the such-things and often
μὲν εὐλογεῖν καὶ κοσμεῖν τοῖς μεγίστοις ἐπαίνοις τοὺς
indeed to-speak-well-of and to-adorn with-the greatest praises the
ἐχθρούς, ὅταν αἱ πράξεις ἀπαιτῶσι τοῦτο, πολλάκις δ’
enemies when the deeds demand this often and
ἐλέγχειν καὶ ψέγειν ἐπονειδίστως τοὺς ἀναγκαιοτάτους,
to-reproach and to-blame reproachfully the closest
ὅταν αἱ τῶν ἐπιτηδευμάτων ἁμαρτίαι τοῦθ’ ὑποδεικνύωσιν.
when the of-the practices errors this indicate
ὥσπερ γὰρ ζῴου τῶν ὄψεων ἀφαιρεθεισῶν 14.6
just-as for of-a-living-creature the eyes being-taken-away
ἀχρειοῦται τὸ ὅλον, οὕτως ἐξ ἱστορίας ἀναιρεθείσης
is-made-useless the whole so from history being-removed
τῆς ἀληθείας τὸ καταλειπόμενον αὐτῆς ἀνωφελὲς γίνεται
the truth the remaining of-it useless becomes
διήγημα.
narrative
διόπερ οὔτε τῶν φίλων κατηγορεῖν οὔτε τοὺς ἐχθροὺς 14.7
wherefore neither the friends to-accuse nor the enemies
ἐπαινεῖν ὀκνητέον, οὔτε δὲ τοὺς αὐτοὺς ψέγειν, ποτὲ
to-praise one-must-shrink nor and the same to-blame at-one-time

δ' ἐγκωμιάζειν εὐλαβητέον, ἐπειδὴ τοὺς ἐν πράγμασιν
and to-praise one-must-be-wary since those in affairs
ἀναστρεφομένους οὔτ' εὐστοχεῖν αἰεὶ δυνατὸν οὔθ'
engaged neither to-hit-the-mark always possible nor
ἁμαρτάνειν συνεχῶς εἰκός.
to-err continually likely

14.8 ἀποστάντας οὖν τῶν πραττόντων αὐτοῖς τοῖς
having-stood-apart therefore from-those acting to-the-very —
πραττομένοις ἐφαρμοστέον τὰς πρεπούσας ἀποφάσεις καὶ
things-done one-must-apply the fitting statements and
διαλήψεις ἐν τοῖς ὑπομνήμασιν.
judgments in the memoirs

14.9 ὡς δ' ἔστιν ἀληθῆ τὰ νῦν ὑφ' ἡμῶν εἰρημένα σκοπεῖν
that and are true the-things now by us said to-consider
ἐκ τούτων πάρεστιν.
from these it-is-possible

15.1 ὁ γὰρ Φιλῖνος ἀρχόμενος ἅμα τῶν πραγμάτων καὶ
— for Philinus beginning at-once of-the affairs and
τῆς δευτέρας βύβλου φησὶ προσκαθῆσθαι τῇ Μεσσήνῃ
of-the second book says to-be-besieging — Messene
πολεμοῦντας τούς τε Καρχηδονίους καὶ τοὺς Συρακοσίους,
warring the both Carthaginians and the Syracusans

15.2 παραγενομένους δὲ τοὺς Ῥωμαίους κατὰ θάλατταν εἰς τὴν
having-arrived and the Romans by sea at the
πόλιν εὐθὺς ἐξελθεῖν ἐπὶ τοὺς Συρακοσίους· λαβόντας
city straightway to-have-gone-out against the Syracusans having-received
δὲ πολλὰς πληγὰς ἐπανελθεῖν εἰς τὴν Μεσσήνην· αὖθις
and many blows to-have-returned to — Messene again
δ' ἐπὶ τοὺς Καρχηδονίους ἐκπορευθέντας οὐ μόνον
and against the Carthaginians having-marched-out not only

πληγὰς λαβεῖν, ἀλλὰ καὶ ζωγρίᾳ τῶν στρατιωτῶν
blows to-have-received but also alive of-the soldiers
ἱκανοὺς ἀποβαλεῖν.
many to-have-lost
ταῦτα δ' εἰπὼν τὸν μὲν Ἱέρωνά φησι μετὰ τὴν γενομένην 15.3
these-things and having-said — indeed Hiero he-says after the having-happened
συμπλοκὴν οὕτως ἔξω γενέσθαι τοῦ φρονεῖν ὥστε μὴ μόνον
engagement so out to-have-become of-the to-think so-that not only
παραχρῆμα τὸν χάρακα καὶ τὰς σκηνὰς ἐμπρήσαντα φυγεῖν
immediately the palisade and the tents having-burned to-have-fled
νυκτὸς εἰς τὰς Συρακούσας, ἀλλὰ καὶ τὰ φρούρια πάντα
by-night to — Syracuse but also the forts all
καταλιπεῖν τὰ κείμενα κατὰ τῆς τῶν Μεσσηνίων χώρας·
to-have-abandoned those lying in the of-the Messenians country
ὁμοίως δὲ καὶ τοὺς Καρχηδονίους μετὰ τὴν μάχην 15.4
likewise and also the Carthaginians after the battle
εὐθέως ἐκλιπόντας τὸν χάρακα διελεῖν σφᾶς εἰς
straightway having-abandoned the palisade to-have-distributed themselves into
τὰς πόλεις, τῶν δ' ὑπαίθρων οὐδ' ἀντιποιεῖσθαι τολμᾶν
the cities of-the and open-country not-even to-contest to-dare
ἔτι· διὸ καὶ συνθεωρήσαντας τοὺς ἡγουμένους αὐτῶν
any-longer wherefore also having-observed the leaders of-them
ἀποδεδειλιακότας τοὺς ὄχλους βουλεύσασθαι μὴ κρίνειν
having-lost-heart the masses to-have-resolved not to-decide
διὰ μάχης τὰ πράγματα·
by battle the affairs
τοὺς δὲ Ῥωμαίους ἑπομένους αὐτοῖς οὐ μόνον τὴν 15.5
the and Romans following them not only the
χώραν πορθεῖν τῶν Καρχηδονίων καὶ Συρακοσίων, ἀλλὰ
country to-ravage of-the Carthaginians and Syracusans but

καὶ τὰς Συρακούσας αὐτὰς προσκαθίσαντας ἐπιβαλέσθαι
also — Syracuse itself having-sat-down-before to-have-undertaken
πολιορκεῖν.
to-besiege

15.6 ταῦτα δ', ὡς ἐμοὶ δοκεῖ, τῆς πάσης ἐστὶν ἀλογίας πλήρη
these-things but as to-me it-seems of-the all is absurdity full
καὶ διαστολῆς οὐ προσδεῖται τὸ παράπαν.
and of-distinction not does-need the altogether

15.7 οὓς μὲν γὰρ πολιορκοῦντας τὴν Μεσσήνην καὶ νικῶντας
whom indeed for besieging — Messene and conquering
ἐν ταῖς συμπλοκαῖς ὑπέθετο, τούτους φεύγοντας καὶ τῶν
in the engagements he-supposed these fleeing and from-the
ὑπαίθρων ἐκχωροῦντας καὶ τέλος πολιορκουμένους καὶ
open-country withdrawing and finally being-besieged and
ταῖς ψυχαῖς ἀποδεδειλιακότας ἀπέφηνεν·
in-the souls having-lost-heart he-showed

15.8 οὓς δ' ἡττωμένους καὶ πολιορκουμένους ὑπεστήσατο,
whom but being-defeated and being-besieged he-assumed
τούτους διώκοντας καὶ παραχρῆμα κρατοῦντας τῶν
these pursuing and immediately mastering the
ὑπαίθρων καὶ τέλος πολιορκοῦντας τὰς Συρακούσας
open-country and finally besieging — Syracuse
ἀπέδειξε.
he-showed

15.9 ταῦτα δὲ συνᾴδειν ἀλλήλοις οὐδαμῶς δύναται· πῶς
these-things and to-agree with-one-another in-no-way can how
γάρ; ἀλλ' ἀναγκαῖον ἢ τὰς ὑποθέσεις εἶναι τὰς πρώτας
for but necessary-it-is either the premises to-be the first
ψευδεῖς ἢ τὰς ὑπὲρ τῶν συμβαινόντων ἀποφάσεις.
false or the about the events statements

εἰσὶ δ' αὗται μὲν ἀληθεῖς· καὶ γὰρ ἐξεχώρησαν οἱ 15.10
are and these indeed true and for withdrew the
Καρχηδόνιοι καὶ Συρακόσιοι τῶν ὑπαίθρων, καὶ τὰς
Carthaginians and Syracusans from-the open-country and —
Συρακούσας ἐπολέμουν οἱ Ῥωμαῖοι κατὰ πόδας, ὡς δ'
Syracuse besieged the Romans at-the heels as and
οὗτός φησι, καὶ τὴν Ἐχέτλαν, ἐν μέσῃ κειμένην τῇ
this-man says even — Echetla in the-middle lying of-the
τῶν Συρακοσίων καὶ Καρχηδονίων ἐπαρχίᾳ.
of-the Syracusans and Carthaginians province
λοιπὸν ἀνάγκη συγχωρεῖν τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις 15.11
it-remains necessity to-concede the beginnings and the premises
εἶναι ψευδεῖς, καὶ νικώντων εὐθέως τῶν Ῥωμαίων ἐν
to-be false and conquering straightway the Romans in
ταῖς περὶ τὴν Μεσσήνην συμπλοκαῖς ἡττημένους αὐτοὺς
the about — Messene engagements defeated them
ἡμῖν ὑπὸ τοῦ συγγραφέως ἀπηγγέλθαι.
to-us by the historian to-have-been-reported
Φιλῖνον μὲν οὖν παρ' ὅλην ἄν τις τὴν πραγματείαν 15.12
Philinus indeed therefore throughout whole — anyone the treatise
εὕροι τοιοῦτον ὄντα, παραπλησίως δὲ καὶ Φάβιον, ὡς
would-find such being likewise and also Fabius as
ἐπ' αὐτῶν δειχθήσεται τῶν καιρῶν.
at the-very it-will-be-shown — times
ἡμεῖς δ' ἐπειδὴ τοὺς ἁρμόζοντας πεποιήμεθα λόγους 15.13
we and since the fitting we-have-made words
ὑπὲρ τῆς παρεκβάσεως, ἐπανελθόντες ἐπὶ τὰς πράξεις
about the digression having-returned to the deeds
πειρασόμεθα προστιθέντες ἀεὶ τὸν ἑξῆς λόγον εἰς
we-shall-try adding always the following account to

ἀληθινὰς ἐννοίας ἄγειν διὰ βραχέων τοὺς ἐντυγχάνοντας
true notions to-lead through brief-words those reading
ὑπὲρ τοῦ προειρημένου πολέμου.
about the aforesaid war

16.1 προσπεσόντων γὰρ εἰς τὴν Ῥώμην ἐκ τῆς Σικελίας
having-fallen for to — Rome from — Sicily
τῶν περὶ τὸν Ἄππιον καὶ τὰ στρατόπεδα προτερημάτων,
the about — Appius and the legions successes
καταστήσαντες ὑπάτους Μάνιον Ὀτακίλιον καὶ Μάνιον
having-appointed consuls Manius Otacilius and Manius
Οὐαλέριον τάς τε δυνάμεις ἁπάσας ἐξαπέστελλον καὶ
Valerius the both forces all they-sent-out and
τοὺς στρατηγοὺς ἀμφοτέρους εἰς τὴν Σικελίαν.
the generals both to — Sicily

16.2 ἔστι δὲ παρὰ Ῥωμαίοις τὰ πάντα τέτταρα στρατόπεδα
there-are and among Romans the all four legions
Ῥωμαϊκὰ χωρὶς τῶν συμμάχων, ἃ κατ' ἐνιαυτὸν
Roman apart-from the allies which by year
προχειρίζονται· τούτων ἕκαστον ἀνὰ τετρακισχιλίους
they-appoint of-these each of four-thousand
πεζούς, ἱππεῖς δὲ τριακοσίους.
foot horsemen and three-hundred

16.3 ὧν παραγενομένων ἀπό τε τῶν Καρχηδονίων αἱ πλείους
which having-arrived from both the Carthaginians the most
ἀφιστάμεναι πόλεις προσετίθεντο τοῖς Ῥωμαίοις ἀπό τε
revolting cities joined to-the Romans from both
τῶν Συρακοσίων.
the Syracusans

16.4 ὁ δ' Ἱέρων θεωρῶν τὴν διατροπὴν καὶ κατάπληξιν
— and Hiero seeing the confusion and consternation
τῶν Σικελιωτῶν, ἅμα δὲ τὸ πλῆθος καὶ τὸ βάρος
of-the Sicilian-Greeks at-the-same-time and the number and the weight

τῶν Ῥωμαϊκῶν στρατοπέδων, ἐκ πάντων συνελογίζετο
of-the Roman legions from all reckoned
τούτων ἐπικυδεστέρας εἶναι τὰς τῶν Ῥωμαίων ἢ τὰς
these more-glorious to-be the of-the Romans than the
τῶν Καρχηδονίων ἐλπίδας.
of-the Carthaginians hopes
διόπερ ἐπὶ τοῦτο τὸ μέρος ὁρμήσας τοῖς λογισμοῖς 16.5
wherefore toward this the side having-set-out in-the reasonings
διεπέμπετο πρὸς τοὺς στρατηγούς, ὑπὲρ εἰρήνης καὶ φιλίας
he-sent to the generals about peace and friendship
ποιούμενος τοὺς λόγους.
making the proposals
οἱ δὲ Ῥωμαῖοι προσεδέξαντο, καὶ μάλιστα διὰ τὰς 16.6
the and Romans accepted and most because-of the
χορηγίας·
supplies
θαλαττοκρατούντων γὰρ τῶν Καρχηδονίων εὐλαβοῦντο μὴ 16.7
ruling-the-sea for the Carthaginians they-were-wary lest
πανταχόθεν ἀποκλεισθῶσι τῶν ἀναγκαίων διὰ τὸ καὶ
from-all-sides they-be-shut-off from-the necessaries because-of the also
περὶ τὰ πρὸ τοῦ διαβάντα στρατόπεδα πολλὴν ἔνδειαν
about the before this having-crossed legions much want
γεγονέναι τῶν ἐπιτηδείων.
to-have-arisen of-the provisions
διόπερ ὑπολαβόντες τὸν Ἱέρωνα μεγάλην εἰς τοῦτο τὸ 16.8
wherefore having-supposed — Hiero great for this the
μέρος αὑτοῖς παρέξεσθαι χρείαν ἀσμένως προσεδέξαντο
part to-them to-be-going-to-provide service gladly they-accepted
τὴν φιλίαν.
the friendship

16.9 ποιησάμενοι δὲ συνθήκας ἐφ᾽ ᾧ τὰ μὲν αἰχμάλωτα χωρὶς
having-made and a-treaty on which the indeed prisoners without
λύτρων ἀποδοῦναι τὸν βασιλέα Ῥωμαίοις, ἀργυρίου δὲ
ransoms to-give-back the king to-Romans of-silver and
προσθεῖναι τάλαντα τούτοις ἑκατόν, λοιπὸν ἤδη Ῥωμαῖοι
to-add talents to-these a-hundred thereafter now Romans
μὲν ὡς φίλοις καὶ συμμάχοις ἐχρῶντο τοῖς Συρακοσίοις.
indeed as friends and allies treated the Syracusans
16.10 ὁ δὲ βασιλεὺς Ἱέρων ὑποστείλας ἑαυτὸν ὑπὸ τὴν
the and king Hiero having-placed himself under the
Ῥωμαίων σκέπην καὶ χορηγῶν ἀεὶ τούτοις εἰς τὰ
of-Romans shelter and supplying always to-them for the
κατεπείγοντα τῶν πραγμάτων ἀδεῶς ἐβασίλευε τῶν
pressing of-the affairs fearlessly reigned-over the
Συρακοσίων τὸν μετὰ ταῦτα χρόνον, φιλοστεφανῶν καὶ
Syracusans the after these-things time loving-crowns and
φιλοδοξῶν εἰς τοὺς Ἕλληνας.
loving-glory toward the Greeks
16.11 ἐπιφανέστατος γὰρ δὴ πάντων οὗτος δοκεῖ καὶ πλεῖστον
most-illustrious for indeed of-all this-man seems and most
χρόνον ἀπολελαυκέναι τῆς ἰδίας εὐβουλίας ἔν τε τοῖς
time to-have-enjoyed of-the own good-counsel in both the
κατὰ μέρος καὶ τοῖς καθόλου πράγμασιν.
in part and the general affairs
17.1 Ἐπανενεχθεισῶν δὲ τῶν συνθηκῶν εἰς τὴν Ῥώμην, καὶ
Having-been-brought-back and the treaty to — Rome and
προσδεξαμένου τοῦ δήμου καὶ κυρώσαντος τὰς πρὸς Ἱέρωνα
having-accepted the people and having-ratified the with Hiero
διαλύσεις, λοιπὸν οὐκέτι πάσας ἔκρινον ἐξαποστέλλειν οἱ
terms thereafter no-longer all decided to-send-out the
Ῥωμαῖοι τὰς δυνάμεις, ἀλλὰ δύο μόνον στρατόπεδα,
Romans the forces but two only legions

νομίζοντες ἅμα μὲν κεκουφίσθαι τὸν πόλεμον 17.2
thinking at-the-same-time indeed to-have-been-lightened the war
αὐτοῖς προσκεχωρηκότος τοῦ βασιλέως, ἅμα δὲ
for-them having-come-over the king at-the-same-time and
μᾶλλον ὑπολαμβάνοντες οὕτως εὐπορήσειν τὰς
rather supposing so to-be-going-to-be-well-supplied the
δυνάμεις τοῖς ἀναγκαίοις.
forces with-the necessaries
οἱ δὲ Καρχηδόνιοι θεωροῦντες τὸν μὲν Ἱέρωνα πολέμιον 17.3
the and Carthaginians seeing — indeed Hiero an-enemy
αὑτοῖς γεγονότα, τοὺς δὲ Ῥωμαίους ὁλοσχερέστερον
to-them having-become the and Romans more-thoroughly
ἐμπλεκομένους εἰς τὰ κατὰ τὴν Σικελίαν ὑπέλαβον
becoming-entangled in the-things in — Sicily supposed
βαρυτέρας προσδεῖσθαι παρασκευῆς, δι᾽ ἧς ἀντοφθαλμεῖν
heavier to-need-besides a-preparation through which to-look-in-the-face
δυνήσονται τοῖς πολεμίοις καὶ συνέχειν τὰ κατὰ τὴν
they-will-be-able the enemy and to-hold the-things in —
Σικελίαν.
Sicily
διὸ καὶ ξενολογήσαντες ἐκ τῆς ἀντιπέρας χώρας 17.4
wherefore also having-recruited-mercenaries from the opposite country
πολλοὺς μὲν Λιγυστίνους καὶ Κελτούς, ἔτι δὲ πλείους
many indeed Ligurians and Celts still and more
τούτων Ἴβηρας, ἅπαντας εἰς τὴν Σικελίαν ἀπέστειλαν.
than-these Iberians all to — Sicily they-sent
ὁρῶντες δὲ τὴν τῶν Ἀκραγαντίνων πόλιν εὐφυεστάτην 17.5
seeing and the of-the Agrigentines city best-suited
οὖσαν πρὸς τὰς παρασκευὰς καὶ βαρυτάτην ἅμα
being for the preparations and strongest at-the-same-time
τῆς αὑτῶν ἐπαρχίας εἰς ταύτην συνήθροισαν τά τε
of-the their-own province into this they-gathered the both

χορήγια καὶ τὰς δυνάμεις, ὁρμητηρίῳ κρίνοντες χρῆσθαι
supplies and the forces as-a-base deciding to-use
ταύτῃ τῇ πόλει πρὸς τὸν πόλεμον.
this the city for the war

17.6 τῶν δὲ Ῥωμαίων οἱ μὲν πρὸς τὸν Ἱέρωνα ποιησάμενοι
of-the and Romans the indeed with — Hiero having-made
στρατηγοὶ τὰς συνθήκας ἀνακεχωρήκεισαν· οἱ δὲ μετὰ
generals the treaty had-withdrawn those and after
τούτους κατασταθέντες Λεύκιος Ποστόμιος καὶ Κόιντος
these appointed Lucius Postumius and Quintus
Μαμίλιος ἦκον εἰς τὴν Σικελίαν μετὰ τῶν στρατοπέδων.
Mamilius came to — Sicily with the legions

17.7 θεωροῦντες δὲ τὴν τῶν Καρχηδονίων ἐπιβολὴν καὶ τὰς
seeing and the of-the Carthaginians design and the
περὶ τὸν Ἀκράγαντα παρασκευὰς ἔγνωσαν τολμηρότερον
about — Agrigentum preparations they-resolved more-boldly
ἐγχειρεῖν τοῖς πράγμασιν·
to-attack the affairs

17.8 διὸ καὶ τὰ μὲν ἄλλα μέρη τοῦ πολέμου παρῆκαν,
wherefore also the indeed other parts of-the war they-let-go
φέροντες δὲ παντὶ τῷ στρατεύματι πρὸς αὐτὸν Ἀκράγαντα
bearing and with-all the army toward itself Agrigentum
προσήρεισαν· καὶ στρατοπεδεύσαντες ἐν ὀκτὼ σταδίοις ἀπὸ
they-pressed and having-encamped at eight stades from
τῆς πόλεως συνέκλεισαν ἐντὸς τειχῶν τοὺς Καρχηδονίους.
the city they-shut-in within walls the Carthaginians

17.9 ἀκμαζούσης δὲ τῆς τοῦ σίτου συναγωγῆς, καὶ προφαινομένης
being-at-its-height and the of-the grain harvest and appearing
χρονίου πολιορκίας, ὥρμησαν ἐκθυμότερον τοῦ δέοντος
a-long siege set-out more-eagerly than-the needful
οἱ στρατιῶται πρὸς τὸ σιτολογεῖν.
the soldiers for the to-gather-grain

οἱ δὲ Καρχηδόνιοι κατιδόντες τοὺς πολεμίους ἐσκεδασμένους 17.10
the and Carthaginians having-seen the enemy scattered
κατὰ τῆς χώρας, ἐξελθόντες ἐπέθεντο τοῖς σιτολογοῦσιν.
over the country having-gone-out attacked those gathering-grain
τρεψάμενοι δὲ τούτους ῥᾳδίως οἱ μὲν ἐπὶ τὴν τοῦ
having-routed and these easily some indeed to the of-the
χάρακος ἁρπαγὴν ὥρμησαν, οἱ δ' ἐπὶ τὰς ἐφεδρείας.
palisade plunder set-out others and to the outposts
ἀλλ' ἡ τῶν ἐθισμῶν διαφορὰ καὶ τότε καὶ πολλάκις 17.11
but the of-the customs difference both then and often
ἤδη σέσωκε τὰ Ῥωμαίων πράγματα. τὸ γὰρ πρόστιμον
already has-saved the of-Romans affairs the for penalty
παρ' αὐτοῖς θάνατός ἐστι τῷ προεμένῳ τὸν τόπον
among them death is for-the-one having-abandoned the post
καὶ φυγόντι τὸ παράπαν ἐξ ἐφεδρείας.
and having-fled the altogether from an-outpost
διὸ καὶ τότε πολλαπλασίους ὄντας τοὺς ὑπεναντίους 17.12
wherefore also then many-times-more being the opponents
ὑποστάντες γενναίως πολλοὺς μὲν τῶν ἰδίων ἀπέβαλον,
having-withstood nobly many indeed of-the own they-lost
ἔτι δὲ πλείους τῶν ἐχθρῶν ἀπέκτειναν.
still and more of-the enemy they-killed
τέλος δὲ κυκλώσαντες τοὺς πολεμίους ὅσον οὔπω 17.13
finally and having-encircled the enemy all but
διασπῶντας τὸν χάρακα, τοὺς μὲν αὐτῶν διέφθειραν,
tearing-down the palisade some indeed of-them they-destroyed
τοὺς δὲ λοιποὺς ἐπικείμενοι καὶ φονεύοντες συνεδίωξαν
the and rest pressing-on and slaying they-pursued
εἰς τὴν πόλιν.
into the city

18.1 μετὰ δὲ ταῦτα συνέβη τοὺς μὲν Καρχηδονίους
after and these-things it-happened the indeed Carthaginians
εὐλαβέστερον διακεῖσθαι πρὸς τὰς ἐπιθέσεις, τοὺς δὲ
more-cautiously to-be-disposed toward the attacks the and
Ῥωμαίους φυλακτικώτερον χρῆσθαι ταῖς προνομαῖς.
Romans more-guardedly to-use the foraging

18.2 ἐπεὶ δ' οὐκ ἀντεξήεσαν οἱ Καρχηδόνιοι πλὴν ἕως
since but not came-out-against the Carthaginians except as-far-as
ἀκροβολισμοῦ, διελόντες οἱ στρατηγοὶ τῶν Ῥωμαίων εἰς δύο
skirmishing having-divided the generals of-the Romans into two
μέρη τὴν δύναμιν τῷ μὲν ἑνὶ περὶ τὸ πρὸ τῆς πόλεως
parts the force with-the indeed one about the before the city
Ἀσκληπιεῖον ἔμενον, θατέρῳ δὲ κατεστρατοπέδευσαν
Asclepieum they-remained with-the-other and they-encamped
ἐν τοῖς πρὸς Ἡράκλειαν κεκλιμένοις μέρεσιν τῆς πόλεως.
in the toward Heraclea sloping parts of-the city

18.3 τὰ δὲ μεταξὺ τῶν στρατοπέδων ἐξ ἑκατέρου τοῦ μέρους
the and between the camps from each the side
τῆς πόλεως ὠχυρώσαντο καὶ τὴν μὲν ἐντὸς αὐτῶν τάφρον
of-the city they-fortified and the indeed inside of-them trench
προεβάλοντο χάριν τῆς πρὸς τοὺς ἐξιόντας ἐκ τῆς πόλεως
they-put-in-front for-the-sake of-the against those going-out from the city
ἀσφαλείας, τὴν δ' ἐκτὸς αὐτῶν περιεβάλοντο, φυλακὴν
safety the and outside of-them they-threw-round guard
ποιούμενοι τῶν ἔξωθεν ἐπιθέσεων καὶ τῶν παρεισάγεσθαι
making of-the from-outside attacks and of-those to-be-brought-in
καὶ παρεισπίπτειν εἰωθότων εἰς τὰς πολιορκουμένας πόλεις.
and to-slip-in accustomed into the besieged cities

τὰ δὲ μεταξὺ τῶν τάφρων καὶ τῶν στρατοπέδων 18.4
the and between the trenches and the camps
διαστήματα φυλακαῖς διέλαβον, ὀχυροποιησάμενοι τοὺς
intervals with-guards they-occupied having-fortified the
εὐκαίρους τῶν τόπων ἐν διαστάσει.
suitable of-the places at intervals
τὰ δὲ χορήγια καὶ τὴν ἄλλην παρασκευὴν οἱ μὲν 18.5
the and supplies and the other provision the indeed
ἄλλοι σύμμαχοι πάντες ἤθροιζον αὐτοῖς καὶ παρῆγον εἰς
other allies all were-collecting for-them and were-bringing to
Ἑρβησόν, αὐτοὶ δ' ἐκ ταύτης τῆς πόλεως οὐ μακρὰν
Herbesus themselves and from this the city not far
ὑπαρχούσης ἄγοντες καὶ φέροντες συνεχῶς τὰς ἀγορὰς
being bringing and carrying continually the markets
δαψιλῆ τἀναγκαῖα σφίσι παρεσκεύαζον.
abundant the-necessaries for-themselves they-provided
πέντε μὲν οὖν ἴσως μῆνας ἐπὶ τῶν αὐτῶν διέμενον, 18.6
five indeed therefore perhaps months on the same they-remained
οὐδὲν ὁλοσχερὲς προτέρημα δυνάμενοι λαβεῖν κατ' ἀλλήλων
no decisive advantage being-able to-gain over one-another
πλὴν τῶν ἐν αὐτοῖς τοῖς ἀκροβολισμοῖς συμβαινόντων.
except the-things in the-very — skirmishes happening
συναγομένων δὲ τῷ λιμῷ τῶν Καρχηδονίων διὰ τὸ 18.7
being-pressed and by-the famine the Carthaginians because-of the
πλῆθος τῶν ἐν τῇ πόλει συγκεκλεισμένων ἀνδρῶν — οὐ
number of-the in the city shut-in men not
γὰρ ἐλάττους πέντε μυριάδων ὑπῆρχον — δυσχρηστούμενος
for fewer than-five myriads they-were being-in-difficulties
Ἀννίβας ἤδη τοῖς πράγμασιν, ὁ τεταγμένος ἐπὶ τῶν
Hannibal already with-the affairs the-one appointed over the
πολιορκουμένων δυνάμεων, διεπέμπετο συνεχῶς εἰς τὴν
besieged forces sent continually to —

Καρχηδόνα τήν τε περίστασιν διασαφῶν καὶ βοηθεῖν
Carthage the both plight making-clear and to-help
παρακαλῶν.
urging

18.8 οἱ δ' ἐν τῇ Καρχηδόνι τῶν ἐπισυνηγμένων στρατιωτῶν
those and in — Carthage with-the gathered soldiers
καὶ θηρίων γεμίσαντες τὰς ναῦς ἐξέπεμψαν εἰς τὴν
and beasts having-filled the ships sent-out to —
Σικελίαν πρὸς Ἄννωνα τὸν ἕτερον στρατηγόν.
Sicily to Hanno the other general

18.9 ὃς συναγαγὼν τὰς παρασκευὰς καὶ δυνάμεις εἰς Ἡράκλειαν
who having-collected the preparations and forces at Heraclea
πρῶτον μὲν προξικοπήσας κατέσχε τὴν τῶν Ἑρβησέων
first indeed having-surprised(-it) seized the of-the Herbesians
πόλιν καὶ παρείλετο τὰς ἀγορὰς καὶ τὴν τῶν ἀναγκαίων
city and took-away the markets and the of-the necessaries
χορηγίαν τοῖς τῶν ὑπεναντίων στρατοπέδοις.
supply from-the of-the opponents camps

18.10 ἐξ οὗ συνέβη τοὺς Ῥωμαίους ἐπ' ἴσου πολιορκεῖν καὶ
from which it-happened the Romans on equal-terms to-besiege and
πολιορκεῖσθαι τοῖς πράγμασιν. εἰς γὰρ τοῦτο συνήγοντο
to-be-besieged in-the affairs into for this they-were-reduced
τῇ σιτοδείᾳ καὶ σπάνει τῶν ἀναγκαίων ὥστε πολλάκις
by-the dearth and scarcity of-the necessaries so-that often
βουλεύεσθαι περὶ τοῦ λύειν τὴν πολιορκίαν.
to-deliberate about the to-raise the siege

18.11 ὃ δὴ καὶ τέλος ἂν ἐποίησαν, εἰ μὴ πᾶσαν
which indeed also finally — they-would-have-done if not all
σπουδὴν καὶ μηχανὴν προσφερόμενος Ἱέρων τὰ μέτρια
zeal and contrivance applying Hiero the moderate
καὶ τἀναγκαῖα σφίσι παρεσκεύαζε τῶν χορηγίων.
and the-necessaries for-them was-providing of-the supplies

Hanno is routed before Agrigentum, Hannibal slips out by night, and the Romans sack the city. Resolved now to drive Carthage from all Sicily, and without a single warship, they build a hundred quinqueremes and twenty triremes on the model of a stranded Carthaginian ship, while their crews learn to row on land. A first squadron is trapped at Lipara, but fitted with the boarding bridge called the raven, the fleet under Duilius defeats Hannibal off Mylae. The war goes on in Sicily, where the Romans take town after town, and in Sardinia, where Hannibal is crucified by his own men.

μετὰ δὲ ταῦτα θεωρῶν ὁ προειρημένος ἀνὴρ τοὺς 19.1
after and these-things seeing the aforesaid man the
μὲν Ῥωμαίους ὑπό τε τῆς νόσου καὶ τῆς ἐνδείας
indeed Romans by both the sickness and the want
ἀσθενῶς διακειμένους διὰ τὸ λοιμικὴν εἶναι παρ᾽ αὐτοῖς
weakly disposed because-of the pestilential to-be among them
κατάστασιν, τὰ δὲ σφέτερα στρατόπεδα νομίζων ἀξιόχρεα
condition the and their-own armies thinking fit
πρὸς μάχην ὑπάρχειν,
for battle to-be
ἀναλαβὼν τά τε θηρία περὶ πεντήκοντα τὸν ἀριθμὸν 19.2
having-taken-up the both beasts about fifty in-the number
ὄντα καὶ τὴν λοιπὴν δύναμιν ἅπασαν προῆγε κατὰ
being and the remaining force all he-advanced in
σπουδὴν ἐκ τῆς Ἡρακλείας, παραγγείλας τοῖς Νομαδικοῖς
haste from — Heraclea having-ordered the Numidian
ἱππεῦσι προπορεύεσθαι καὶ συνεγγίσασι τῷ χάρακι τῶν
horsemen to-go-ahead and having-approached the palisade of-the
ἐναντίων ἐρεθίζειν καὶ πειρᾶσθαι τοὺς ἱππεῖς αὐτῶν
opponents to-provoke and to-try the horsemen their

ἐκκαλεῖσθαι, κἄπειτα πάλιν ἐκκλίνασιν ἀποχωρεῖν, ἕως
to-call-out and-then again having-turned-away to-withdraw until
ἂν αὐτῷ συμμίξωσι.
— with-him they-should-join

19.3 πραξάντων δὲ τὸ συνταχθὲν τῶν Νομάδων καὶ
having-done and the-thing ordered the Numidians and
προσμιξάντων θατέρῳ τῶν στρατοπέδων, εὐθὺς οἱ τῶν
having-engaged the-one of-the camps straightway the of-the
Ῥωμαίων ἱππεῖς ἐξεχέοντο καὶ θρασέως ἐπέκειντο τοῖς
Romans horsemen poured-out and boldly pressed-upon the
Νομάσιν.
Numidians

19.4 οἱ δὲ Λίβυες ὑπεχώρουν κατὰ τὸ παράγγελμα, μέχρι
the and Libyans withdrew according-to the order until
συνέμιξαν τοῖς περὶ τὸν Ἄννωνα· λοιπόν τ᾽ ἐκ μεταβολῆς
they-joined those about — Hanno thereafter and from a-change
περιχυθέντες ἐπέκειντο τοῖς πολεμίοις καὶ πολλοὺς μὲν
having-poured-round pressed-upon the enemy and many indeed
αὐτῶν ἀπέκτειναν, τοὺς δὲ λοιποὺς ἕως εἰς τὸν χάρακα
of-them they-killed the and rest as-far into the palisade
συνεδίωξαν.
they-pursued

19.5 γενομένων δὲ τούτων ἐπεστρατοπέδευσαν οἱ περὶ τὸν
having-happened and these-things encamped-against those about —
Ἄννωνα τοῖς Ῥωμαίοις, καταλαβόμενοι τὸν λόφον τὸν
Hanno the Romans having-seized the hill the
καλούμενον Τόρον, ὡς δέκα σταδίους ἀπέχοντες τῶν
called Torus about ten stades being-distant from-the
ὑπεναντίων.
opponents

καὶ δύο μὲν μῆνας ἔμενον ἐπὶ τῶν ὑποκειμένων, οὐδὲν 19.6
and two indeed months they-remained on the positions-in-hand nothing
ὁλοσχερὲς πράττοντες πλὴν ἀκροβολιζόμενοι καθ' ἑκάστην
decisive doing except skirmishing by each
ἡμέραν.
day
τοῦ δ' Ἀννίβου διαπυρσευομένου καὶ διαπεμπομένου 19.7
— and Hannibal signaling-by-fire and sending
συνεχῶς ἐκ τῆς πόλεως πρὸς τὸν Ἄννωνα καὶ δηλοῦντος
continually from the city to — Hanno and showing
ὅτι τὰ πλήθη τὸν λιμὸν οὐχ ὑπομένει, πολλοὶ δὲ καὶ
that the masses the famine not endure many and also
πρὸς τοὺς πολεμίους αὐτομολοῦσι διὰ τὴν ἔνδειαν,
to the enemy desert because-of the want
ἔγνω διακινδυνεύειν ὁ τῶν Καρχηδονίων στρατηγός, οὐχ
resolved to-run-the-risk the of-the Carthaginians general not
ἧττον ἐπὶ τοῦτο φερομένων καὶ τῶν Ῥωμαίων διὰ
less to this tending also the Romans because-of
τὰς προειρημένας αἰτίας.
the aforesaid causes
διόπερ ἐξαγαγόντες ἀμφότεροι τὰς δυνάμεις εἰς τὸν μεταξὺ 19.8
wherefore having-led-out both the forces into the between
τόπον τῶν στρατοπέδων συνέβαλλον ἀλλήλοις.
place of-the camps they-engaged one-another
ἐπὶ πολὺν δὲ χρόνον γενομένης τῆς μάχης τέλος ἐτρέψαντο 19.9
for long and time having-gone-on the battle finally routed
τοὺς προκινδυνεύσαντας μισθοφόρους τῶν Καρχηδονίων οἱ
the having-fought-in-front mercenaries of-the Carthaginians the
Ῥωμαῖοι.
Romans

19.10 τούτων δὲ πεσόντων εἰς τὰ θηρία καὶ τὰς λοιπὰς
these and having-fallen-back on the beasts and the remaining
τάξεις τὰς ἐφεστηκυίας συνέβη πᾶν συνταραχθῆναι τὸ
ranks those standing-behind it-happened all to-be-thrown-into-confusion the
τῶν Φοινίκων στρατόπεδον.
of-the Phoenicians army

19.11 γενομένου δ' ἐγκλίματος ὁλοσχεροῦς οἱ μὲν πλεῖστοι
having-happened and a-rout complete the indeed most
διεφθάρησαν αὐτῶν, τινὲς δ' εἰς Ἡράκλειαν ἀπεχώρησαν·
were-destroyed of-them some and to Heraclea withdrew
οἱ δὲ Ῥωμαῖοι τῶν τε πλείστων ἐκυρίευσαν θηρίων καὶ
the and Romans of-the both most became-masters beasts and
τῆς ἐπισκευῆς ἁπάσης.
of-the baggage all

19.12 ἐπιγενομένης δὲ τῆς νυκτός, καὶ διὰ τὴν ἐκ τῶν
having-come-on and the night and because-of the from the
κατορθωμάτων χαρὰν καὶ διὰ τὸν κόπον ῥᾳθυμότερον
successes joy and because-of the fatigue more-carelessly
ταῖς φυλακαῖς αὐτῶν χρησαμένων, ἀπελπίσας Ἀννίβας
the watches their using having-despaired-of Hannibal
τὰ πράγματα καὶ νομίσας ἔχειν εὐφυῆ καιρὸν πρὸς
the affairs and having-thought to-have a-favorable opportunity for
σωτηρίαν διὰ τὰς προειρημένας αἰτίας, ὥρμησε περὶ
safety because-of the aforesaid causes set-out about
μέσας νύκτας ἐκ τῆς πόλεως, ἔχων τὰς ξενικὰς δυνάμεις.
middle nights from the city having the mercenary forces

19.13 χώσας δὲ φορμοῖς ἀχύρων σεσαγμένοις τὰς τάφρους
having-filled and with-baskets of-chaff stuffed the trenches
ἔλαθε τοὺς πολεμίους ἀπαγαγὼν ἀσφαλῶς τὴν
he-escaped-the-notice-of the enemy having-led-away safely the
δύναμιν.
force

οἱ δὲ Ῥωμαῖοι τῆς ἡμέρας ἐπελθούσης συνέντες τὸ 19.14
the and Romans the day having-come having-understood the
γεγονὸς καὶ τῆς οὐραγίας τῆς τῶν περὶ τὸν Ἀννίβαν
event and the rearguard the of-those about — Hannibal
ἐπὶ βραχὺ καθαψάμενοι μετὰ ταῦτα πάντες ὥρμησαν
for a-short-while having-attacked after these-things all set-out
πρὸς τὰς πύλας.
to the gates
οὐδενὸς δ' ἐμποδὼν αὐτοῖς ἱσταμένου, παρεισπεσόντες 19.15
no-one and in-the-way of-them standing having-burst-in
διήρπασαν τὴν πόλιν καὶ πολλῶν μὲν σωμάτων, πολλῆς
they-plundered the city and many indeed persons much
δὲ καὶ παντοδαπῆς ἐγένοντο κατασκευῆς ἐγκρατεῖς.
and also varied became property masters
τῆς δ' ἀγγελίας ἀφικομένης εἰς τὴν σύγκλητον τῶν 20.1
the and news having-arrived at the senate of-the
Ῥωμαίων ὑπὲρ τῶν κατὰ τὸν Ἀκράγαντα, περιχαρεῖς
Romans about the-things at — Agrigentum overjoyed
γενόμενοι καὶ ταῖς διανοίαις ἐπαρθέντες οὐκ ἔμενον
having-become and in-the minds elated not they-remained
ἐπὶ τῶν ἐξ ἀρχῆς λογισμῶν οὐδ' ἠρκοῦντο σεσωκέναι
on the from the-beginning reckonings nor were-content to-have-saved
τοὺς Μαμερτίνους οὐδὲ ταῖς ἐξ αὐτοῦ τοῦ πολέμου
the Mamertines nor with-the from the-very — war
γενομέναις ὠφελείαις,
having-come benefits
ἐλπίσαντες δὲ καθόλου δυνατὸν εἶναι τοὺς Καρχηδονίους 20.2
having-hoped and altogether possible to-be the Carthaginians
ἐκβαλεῖν ἐκ τῆς νήσου, τούτου δὲ γενομένου μεγάλην
to-drive-out from the island this and having-happened great

ἐπίδοσιν αὐτῶν λήψεσθαι τὰ πράγματα, πρὸς τούτοις
increase their to-be-going-to-take the affairs upon these
ἦσαν τοῖς λογισμοῖς καὶ ταῖς περὶ τοῦτο τὸ μέρος ἐπινοίαις.
they-were the reckonings and the about this the part designs

20.3 τὰ μὲν οὖν περὶ τὰς πεζικὰς δυνάμεις ἑώρων
the-things indeed therefore about the land forces they-saw
κατὰ λόγον σφίσι προχωροῦντα·
according-to reckoning for-them going-forward

20.4 μετὰ γὰρ τοὺς τὸν Ἀκράγαντα πολιορκήσαντας οἱ
after for those — Agrigentum having-besieged the
κατασταθέντες στρατηγοὶ Λεύκιος Οὐαλέριος καὶ Τίτος
appointed generals Lucius Valerius and Titus
Ὀτακίλιος ἐδόκουν ἐνδεχομένως χειρίζειν τὰ κατὰ τὴν
Otacilius seemed acceptably to-manage the-things in —
Σικελίαν.
Sicily

20.5 τῆς δὲ θαλάττης ἀκονιτὶ τῶν Καρχηδονίων
of-the and sea without-a-struggle the Carthaginians
ἐπικρατούντων ἐζυγοστατεῖτ' αὐτοῖς ὁ πόλεμος·
commanding was-evenly-balanced for-them the war

20.6 ἐν γὰρ τοῖς ἑξῆς χρόνοις, κατεχόντων αὐτῶν ἤδη
in for the following times holding they already
τὸν Ἀκράγαντα, πολλαὶ μὲν πόλεις προσετίθεντο τῶν
— Agrigentum many indeed cities came-over of-the
μεσογαίων τοῖς Ῥωμαίοις, ἀγωνιῶσαι τὰς πεζικὰς
inland to-the Romans fearing the land
δυνάμεις, ἔτι δὲ πλείους ἀφίσταντο τῶν παραθαλαττίων,
forces still and more revolted of-the coastal
καταπεπληγμέναι τὸν τῶν Καρχηδονίων στόλον.
terrified-at the of-the Carthaginians fleet

ὅθεν ὁρῶντες αἰεὶ καὶ μᾶλλον εἰς ἑκάτερα τὰ μέρη 20.7
whence seeing always and more toward each the side
ῥοπὰς λαμβάνοντα τὸν πόλεμον διὰ τὰς προειρημένας
turns taking the war because-of the aforesaid
αἰτίας, ἔτι δὲ τὴν μὲν Ἰταλίαν πορθουμένην πολλάκις
causes still and — indeed Italy being-ravaged often
ὑπὸ τῆς ναυτικῆς δυνάμεως, τὴν δὲ Λιβύην εἰς τέλος
by the naval force — but Libya to the-end
ἀβλαβῆ διαμένουσαν, ὥρμησαν ἐπὶ τὸ συνεμβαίνειν τοῖς
unharmed remaining they-set-out to the to-embark-together with-the
Καρχηδονίοις εἰς τὴν θάλατταν.
Carthaginians on the sea
διὸ καὶ τοῦτο τὸ μέρος οὐχ ἥκιστά με παρώρμησεν 20.8
wherefore also this the part not least me urged
ποιήσασθαι μνήμην ἐπὶ πλεῖον τοῦ προειρημένου πολέμου
to-make mention at more-length of-the aforesaid war
χάριν τοῦ μηδὲ ταύτην ἀγνοεῖσθαι τὴν ἀρχήν, πῶς καὶ
for-the-sake of-the not-even this to-be-unknown the beginning how and
πότε καὶ δι᾽ ἃς αἰτίας πρῶτον ἐνέβησαν εἰς θάλατταν
when and through what causes first they-embarked on sea
Ῥωμαῖοι.
Romans
θεωροῦντες δὲ τὸν πόλεμον αὐτοῖς τριβὴν λαμβάνοντα, 20.9
seeing and the war for-them a-protraction taking
τότε πρῶτον ἐπεβάλοντο ναυπηγεῖσθαι σκάφη, πεντηρικὰ
then first they-undertook to-build vessels quinqueremes
μὲν ἑκατόν, εἴκοσι δὲ τριήρεις.
indeed a-hundred twenty and triremes
τῶν δὲ ναυπηγῶν εἰς τέλος ἀπείρων ὄντων τῆς περὶ 20.10
of-the and shipwrights to the-end inexperienced being of-the about
τὰς πεντήρεις ναυπηγίας διὰ τὸ μηδένα τότε τῶν
the quinqueremes shipbuilding because-of the no-one then of-those

κατὰ τὴν Ἰταλίαν κεχρῆσθαι τοιούτοις σκάφεσιν, πολλὴν
in — Italy to-have-used such vessels much
αὐτοῖς παρεῖχεν τοῦτο τὸ μέρος δυσχέρειαν.
to-them caused this the part difficulty

20.11 ἐξ ὧν καὶ μάλιστα συνίδοι τις ἂν τὸ μεγαλόψυχον
from which also most could-perceive anyone — the magnanimity
καὶ παράβολον τῆς Ῥωμαίων αἱρέσεως.
and daring of-the of-Romans principle

20.12 οὐ γὰρ οἷον εὐλόγους ἀφορμὰς ἔχοντες, ἀλλ' οὐδ' ἀφορμὰς
not for only reasonable starting-points having but not-even starting-points
καθάπαξ οὐδ' ἐπίνοιαν οὐδέποτε ποιησάμενοι τῆς θαλάττης,
at-all nor a-notion ever having-had of-the sea
τότε δὴ πρῶτον ἐν νῷ λαμβάνοντες οὕτως τολμηρῶς
then indeed first in mind taking so boldly
ἐνεχείρησαν ὥστε πρὶν ἢ πειραθῆναι τοῦ πράγματος,
they-undertook-it that before than to-make-trial of-the matter
εὐθὺς ἐπιβαλέσθαι Καρχηδονίοις ναυμαχεῖν τοῖς ἐκ
straightway to-undertake with-Carthaginians to-fight-at-sea those from
προγόνων ἔχουσι τὴν κατὰ θάλατταν ἡγεμονίαν ἀδήριτον.
ancestors having the on sea supremacy undisputed

20.13 μαρτυρίῳ δ' ἄν τις χρήσαιτο πρὸς τὴν ἀλήθειαν
as-a-witness and — anyone could-use toward the truth
τῶν νῦν ὑπ' ἐμοῦ λεγομένων καὶ πρὸς τὸ παράδοξον
of-the-things now by me said and toward the unexpectedness
αὐτῶν τῆς τόλμης· ὅτε γὰρ τὸ πρῶτον ἐπεχείρησαν
of-them of-the daring when for the first they-undertook
διαβιβάζειν εἰς τὴν Μεσσήνην τὰς δυνάμεις, οὐχ οἷον
to-carry-across to — Messene the forces not only
κατάφρακτος αὐτοῖς ὑπῆρχεν ναῦς, ἀλλ' οὐδὲ καθόλου
a-decked to-them there-was ship but not-even at-all
μακρὸν πλοῖον οὐδὲ λέμβος οὐδ' εἷς,
long vessel nor a-boat not-even one

ἀλλὰ παρὰ Ταραντίνων καὶ Λοκρῶν ἔτι δ' Ἐλεατῶν καὶ 20.14
but from Tarentines and Locrians further and Eleates and
Νεαπολιτῶν συγχρησάμενοι πεντηκοντόρους καὶ τριήρεις
Neapolitans having-borrowed fifty-oared-ships and triremes
ἐπὶ τούτων παραβόλως διεκόμισαν τοὺς ἄνδρας.
on these recklessly they-carried-over the men
ἐν ᾧ δὴ καιρῷ τῶν Καρχηδονίων κατὰ τὸν πορθμὸν 20.15
at which indeed time the Carthaginians in the strait
ἐπαναχθέντων αὐτοῖς, καὶ μιᾶς νεὼς καταφράκτου διὰ
having-put-to-sea-against them and one ship decked because-of
τὴν προθυμίαν προπεσούσης, ὥστ' ἐποκείλασαν γενέσθαι τοῖς
the eagerness having-run-forward so-that running-aground to-become for-the
Ῥωμαίοις ὑποχείριον, ταύτῃ παραδείγματι χρώμενοι τότε
Romans subject this as-a-model using then
πρὸς ταύτην ἐποιοῦντο τὴν τοῦ παντὸς στόλου ναυπηγίαν,
upon this they-made the of-the whole fleet shipbuilding
ὡς εἰ μὴ τοῦτο συνέβη γενέσθαι, δῆλον ὡς διὰ τὴν 20.16
so-that if not this had-happened to-come-about clear that because-of the
ἀπειρίαν εἰς τέλος ἂν ἐκωλύθησαν τῆς ἐπιβολῆς.
inexperience to the-end — they-would-have-been-hindered of-the undertaking
οὐ μὴν ἀλλ' οἷς μὲν ἐπιμελὲς ἦν τῆς ναυπηγίας, 21.1
not however but those-to-whom indeed charge was of-the shipbuilding
ἐγίνοντο περὶ τὴν τῶν πλοίων κατασκευήν, οἱ δὲ
were-busy about the of-the ships construction those and
τὰ πληρώματα συναθροίσαντες ἐδίδασκον ἐν τῇ γῇ
the crews having-collected taught on the land
κωπηλατεῖν τὸν τρόπον τοῦτον·
to-row the way this
καθίσαντες ἐπὶ τῶν εἰρεσιῶν ἐν τῇ χέρσῳ τοὺς ἄνδρας τὴν 21.2
having-seated on the rowing-benches on the dry-land the men the
αὐτὴν ἔχοντας τάξιν ταῖς ἐπ' αὐτῶν τῶν πλοίων καθέδραις,
same having order as-the on the-very — ships seats

μέσον δ' ἐν αὐτοῖς στήσαντες τὸν κελευστήν, ἅμα
middle and among them having-stationed the time-giver at-the-same-time
πάντας ἀναπίπτειν ἐφ' αὑτοὺς ἄγοντας τὰς χεῖρας
all to-fall-back toward themselves drawing the hands
καὶ πάλιν προνεύειν ἐξωθοῦντας ταύτας συνείθιζον
and again to-lean-forward thrusting-out these they-accustomed-(them)
ἄρχεσθαί τε καὶ λήγειν τῶν κινήσεων πρὸς τὰ τοῦ
to-begin both and to-cease the movements at the of-the
κελευστοῦ παραγγέλματα. προκατασκευασθέντων δὲ τούτων,
time-giver orders having-been-prepared and these-things
21.3 ἅμα τῷ συντελεσθῆναι τὰς ναῦς καθελκύσαντες
at-the-same-time with-the to-be-completed the ships having-launched
καὶ βραχὺν χρόνον ἐπ' αὐτῆς τῆς ἀληθείας ἐν θαλάττῃ
and a-short time in the-very — reality at sea
πειραθέντες ἔπλεον παρὰ τὴν Ἰταλίαν κατὰ τὸ
having-made-trial they-sailed along — Italy according-to the
πρόσταγμα τοῦ στρατηγοῦ.
order of-the general
21.4 ὁ γὰρ ἐπὶ τῆς ναυτικῆς δυνάμεως τεταγμένος τοῖς Ῥωμαίοις
the for over the naval force appointed for-the Romans
Γνάιος Κορνήλιος ὀλίγαις ἡμέραις πρότερον, συντάξας τοῖς
Gnaeus Cornelius few days before having-ordered the
ναυάρχοις, ἐπειδὰν καταρτίσωσι τὸν στόλον, πλεῖν ὡς ἐπὶ
captains whenever they-should-equip the fleet to-sail as toward
τὸν πορθμόν, αὐτὸς ἀναχθεὶς μετὰ νεῶν ἑπτακαίδεκα
the strait he-himself having-put-to-sea with ships seventeen
προκατέπλευσεν ἐπὶ τὴν Μεσσήνην, σπουδάζων τὰ
sailed-ahead to — Messene being-eager the-things
κατεπείγοντα πρὸς τὴν χρείαν παρασκευάσαι τῷ στόλῳ.
urgent for the need to-prepare for-the fleet

προσπεσούσης δ' αὐτῷ πράξεως ἐκεῖ περὶ τῆς τῶν 21.5
having-fallen-in and to-him an-affair there about the of-the
Λιπαραίων πόλεως, δεξάμενος τὴν ἐλπίδα προχειρότερον
Liparaeans city having-accepted the hope more-hastily
τοῦ δέοντος ἔπλει ταῖς προειρημέναις ναυσὶ καὶ
than-the needful he-sailed with-the aforesaid ships and
καθωρμίσθη πρὸς τὴν πόλιν.
anchored at the city
ὁ δὲ τῶν Καρχηδονίων στρατηγὸς Ἀννίβας, ἀκούσας 21.6
the and of-the Carthaginians general Hannibal having-heard
ἐν τῷ Πανόρμῳ τὸ γεγονὸς ἐξαποστέλλει Βοώδη τῆς
in — Panormus the event sends-out Boodes of-the
γερουσίας ὑπάρχοντα, ναῦς εἴκοσι δούς.
senate being ships twenty having-given
ὃς ἐπιπλεύσας νυκτὸς ἐν τῷ λιμένι συνέκλεισε τοὺς περὶ 21.7
who having-sailed-against by-night in the harbor shut-in those about
τὸν Γνάιον. ἡμέρας δ' ἐπιγενομένης τὰ μὲν πληρώματα
— Gnaeus day and having-come-on the indeed crews
πρὸς φυγὴν ὥρμησεν εἰς τὴν γῆν, ὁ δὲ Γνάιος ἐκπλαγὴς
to flight set-out to the land — and Gnaeus panic-stricken
γενόμενος καὶ ποιεῖν ἔχων οὐδὲν τέλος παρέδωκεν αὑτὸν
having-become and to-do having nothing finally surrendered himself
τοῖς πολεμίοις.
to-the enemy
οἱ δὲ Καρχηδόνιοι τάς τε ναῦς καὶ τὸν στρατηγὸν 21.8
the and Carthaginians the both ships and the general
τῶν ὑπεναντίων ὑποχείριον ἔχοντες παραχρῆμα πρὸς τὸν
of-the opponents subject having immediately to —
Ἀννίβαν ἀπῆραν.
Hannibal sailed-off

21.9 μετ᾽ οὐ πολλὰς δ᾽ ἡμέρας, οὕτως ἐναργοῦς ὄντος καὶ
after not many and days so evident being and
προσφάτου τοῦ περὶ τὸν Γνάιον ἀτυχήματος, παρ᾽ ὀλίγον
fresh the about — Gnaeus misfortune by little
αὐτὸς Ἀννίβας εἰς τὸ παραπλήσιον ἁμάρτημα προφανῶς
himself Hannibal into the similar error openly
ἐνέπεσεν.
fell

21.10 ἀκούσας γὰρ τὸν τῶν Ῥωμαίων στόλον κομιζόμενον παρὰ
having-heard for the of-the Romans fleet being-conveyed along
τὴν Ἰταλίαν σύνεγγυς εἶναι, κατιδεῖν βουλόμενος τό τε
— Italy near to-be to-look-at wishing the both
πλῆθος καὶ τὴν ὅλην σύνταξιν τῶν ὑπεναντίων, λαβὼν
number and the whole order of-the opponents having-taken
πεντήκοντα ναῦς ἐπιπλεῖ.
fifty ships sails-against-(them)

21.11 κάμπτων δὲ περὶ τὸ τῆς Ἰταλίας ἀκρωτήριον ἐμπίπτει
rounding and about the — of-Italy headland he-falls-in
τοῖς πολεμίοις ἐν κόσμῳ καὶ τάξει ποιουμένοις τὸν πλοῦν
with-the enemy in good-order and array making the voyage
καὶ τὰς μὲν πλείους ἀπέβαλε τῶν νεῶν, αὐτὸς δὲ μετὰ
and the indeed most he-lost of-the ships he-himself and with
τῶν ὑπολειφθεισῶν ἀνελπίστως καὶ παραδόξως διέφυγεν.
the left-over unexpectedly and surprisingly escaped

22.1 οἱ δὲ Ῥωμαῖοι μετὰ ταῦτα συνεγγίσαντες τοῖς κατὰ τὴν
the and Romans after these-things having-approached the in —
Σικελίαν τόποις καὶ συνέντες τὸ γεγονὸς σύμπτωμα
Sicily places and having-understood the having-happened misfortune
περὶ τὸν Γνάιον παραυτίκα μὲν διεπέμποντο πρὸς Γάιον
about — Gnaeus at-once indeed they-sent to Gaius

Βίλιον τὸν ἡγούμενον τῆς πεζῆς δυνάμεως καὶ τοῦτον
Duilius the commanding of-the land force and him
ἀνέμενον,
they-awaited
ἅμα δ' ἀκούοντες οὐ μακρὰν εἶναι τὸν τῶν 22.2
at-the-same-time and hearing not far to-be the of-the
πολεμίων στόλον ἐγίνοντο πρὸς παρασκευὴν τοῦ ναυμαχεῖν.
enemy fleet they-turned to preparation of-the to-fight-at-sea
ὄντων δὲ τῶν πλοίων φαύλων ταῖς κατασκευαῖς καὶ 22.3
being and the ships poor in-the construction and
δυσκινήτων, ὑποτίθεταί τις αὐτοῖς βοήθημα πρὸς τὴν
hard-to-move suggests someone to-them an-aid for the
μάχην τοὺς ἐπικληθέντας μετὰ ταῦτα κόρακας ὧν
battle the called after these-things ravens of-which
συνέβαινε τὴν κατασκευὴν εἶναι τοιαύτην.
it-happened the construction to-be such
στῦλος ἐν πρώρᾳ στρογγύλος εἱστήκει, μῆκος μὲν 22.4
a-pole on prow round stood length indeed
ὀργυιῶν τεττάρων, κατὰ δὲ τὸ πλάτος τριῶν παλαιστῶν
of-fathoms four in and the breadth of-three palms
ἔχων τὴν διάμετρον.
having the diameter
οὗτος αὐτὸς μὲν ἐπὶ τῆς κορυφῆς τροχιλίαν εἶχεν, 22.5
this itself indeed on the top a-pulley had
περιετίθετο δ' αὐτῷ κλῖμαξ ἐπικαρσίαις σανίσι καθηλωμένη,
was-put-round and to-it a-ladder with-cross planks nailed
πλάτος μὲν ποδῶν τεττάρων, τὸ δὲ μῆκος ἓξ ὀργυιῶν.
in-breadth indeed of-feet four the and length six fathoms
τὸ δὲ τρῆμα τοῦ σανιδώματος ἦν παράμηκες καὶ 22.6
the and hole of-the planking was oblong and
περιέβαινε περὶ τὸν στῦλον μετὰ τὰς πρώτας εὐθέως
went-round about the pole after the first straightway

τῆς κλίμακος δύ᾽ ὀργυιάς. εἶχεν δὲ καὶ δρύφακτον αὕτη
of-the ladder two fathoms had and also a-railing it
παρ᾽ ἑκατέραν τὴν ἐπιμήκη πλευρὰν εἰς γόνυ τὸ βάθος.
along each the long side to knee the depth
22.7 ἐπὶ δὲ τοῦ πέρατος αὐτοῦ προσήρμοστο σιδηροῦν οἷον
on and the end of-it was-fitted iron as-it-were
ὕπερον ἀπωξυσμένον, ἔχον δακτύλιον ἐπὶ τῆς κορυφῆς,
a-pestle sharpened having a-ring at the top
ὡς τὸ ὅλον φαίνεσθαι παραπλήσιον ταῖς σιτοποικαῖς
so-that the whole to-appear similar to-the bread-making
μηχανήσεσιν.
machines
22.8 εἰς δὲ τοῦτον τὸν δακτύλιον ἐνεδέδετο κάλως, ᾧ κατὰ
to and this the ring was-tied a-rope with-which at
τὰς ἐμβολὰς τῶν πλοίων ἐξαίροντες τοὺς κόρακας διὰ
the rammings of-the ships raising the ravens through
τῆς ἐν τῷ στύλῳ τροχιλίας ἀφίεσαν ἐπὶ τὸ κατάστρωμα
the in the pole pulley they-let-fall on the deck
τῆς ἀλλοτρίας νεὼς ποτὲ μὲν κατὰ πρῶρραν, ποτὲ
of-the other ship at-times indeed over prow at-times
δ᾽ ἀντιπεριάγοντες τὰς ἐκ τῶν πλαγίων προσπιπτούσας
and swinging-round the from the sides falling-on
ἐμβολάς.
rammings
22.9 ὅτε δὲ ταῖς σανίσι τῶν καταστρωμάτων ἐμπαγέντες
when and in-the planks of-the decks stuck
οἱ κόρακες ὁμοῦ συνδήσαιεν τὰς ναῦς, εἰ μὲν πλάγιαι
the ravens together bound the ships if indeed sideways
παραβάλοιεν ἀλλήλαις, πανταχόθεν ἐπεπήδων, εἰ δὲ κατὰ
they-lay-alongside each-other from-all-sides they-leapt-on if but at

πρῶρραν, δι᾽ αὐτοῦ τοῦ κόρακος ἐπὶ δύο συνεχεῖς
prow through the-very — raven by two abreast
ἐποιοῦντο τὴν ἔφοδον·
made the assault
ὧν οἱ μὲν ἡγούμενοι τὴν κατὰ πρόσωπον ἐπιφάνειαν 22.10
of-whom the indeed leading the toward the-face front
ἐσκέπαζον ταῖς τῶν θυρεῶν προβολαῖς, οἱ δ᾽ ἑπόμενοι
covered with-the of-the shields holding-before those and following
τὰς ἐκ τῶν πλαγίων ἠσφάλιζον πλευρὰς ὑπὲρ τὸν
the at the sides secured flanks over the
δρύφακτον ὑπερτιθέμενοι τὰς ἴτυς τῶν ὅπλων.
railing placing the rims of-the shields
οὗτοι μὲν οὖν τοιαύτῃ κεχρημένοι παρασκευῇ καιρὸν 22.11
these indeed therefore such having-used preparation an-opportunity
ἐπετήρουν πρὸς ναυμαχίαν·
watched-for for a-sea-fight
ὁ δὲ Γάιος Βίλιος ὡς θᾶττον ἔγνω τὴν περιπέτειαν 23.1
— and Gaius Duilius as more-quickly he-learned the reverse
τοῦ τῆς ναυτικῆς δυνάμεως ἡγουμένου, παραδοὺς τὰ
of-the of-the naval force commander having-handed-over the
πεζικὰ στρατόπεδα τοῖς χιλιάρχοις αὐτὸς διεκομίσθη πρὸς
land legions to-the military-tribunes himself crossed to
τὸν στόλον.
the fleet
πυθόμενος δὲ τοὺς πολεμίους πορθεῖν τὴν Μυλαῖτιν 23.2
having-learned and the enemy to-be-ravaging the Mylaean
χώραν ἐπιπλεῖ στόλῳ παντί.
country he-sails-against-(them) with-fleet whole
συνιδόντες δ᾽ οἱ Καρχηδόνιοι μετὰ χαρᾶς καὶ σπουδῆς 23.3
having-seen and the Carthaginians with joy and zeal
ἀνήγοντο ναυσὶν ἑκατὸν καὶ τριάκοντα, καταφρονοῦντες τῆς
put-to-sea with-ships a-hundred and thirty despising the

ἀπειρίας τῶν Ῥωμαίων, καὶ πάντες ἔπλεον ἀντίπρωρροι
inexperience of-the Romans and all sailed prow-on
τοῖς πολεμίοις, οὐδὲ τάξεως καταξιώσαντες τὸν κίνδυνον,
to-the enemy not-even of-order having-deemed-worthy the danger
ἀλλ' ὡς ἐπὶ λείαν τινὰ πρόδηλον.
but as to plunder some obvious

23.4 ἡγεῖτο δ' Ἀννίβας αὐτῶν — οὗτος δ' ἦν ὁ τὰς δυνάμεις
led and Hannibal them this and was the-one the forces
ἐκκλέψας νυκτὸς ἐκ τῆς τῶν Ἀκραγαντίνων πόλεως —
having-stolen-away by-night from the of-the Agrigentines city
ἔχων ἑπτήρη τὴν γενομένην Πύρρου τοῦ βασιλέως.
having a-seven-bank-ship the having-been of-Pyrrhus the king

23.5 ἅμα δὲ τῷ πλησιάζειν συνθεωροῦντες ἀνανευκότας
at-the-same-time and with-the to-approach seeing raised-up
τοὺς κόρακας ἐν ταῖς ἑκάστων πρώρραις, ἐπὶ ποσὸν μὲν
the ravens on the of-each prows for a-while indeed
ἠπόρουν οἱ Καρχηδόνιοι, ξενιζόμενοι ταῖς τῶν ὀργάνων
were-at-a-loss the Carthaginians being-surprised by-the of-the engines
κατασκευαῖς· οὐ μὴν ἀλλὰ τελέως κατεγνωκότες τῶν
constructions not however but utterly having-despised the
ἐναντίων ἐνέβαλον οἱ πρῶτοι πλέοντες τετολμηκότως.
opponents attacked the first sailing daringly

23.6 τῶν δὲ συμπλεκομένων σκαφῶν ἀεὶ δεδεμένων τοῖς
of-the and engaging vessels always being-bound by-the
ὀργάνοις, καὶ τῶν ἀνδρῶν εὐθὺς ἐπιπορευομένων
engines and the men straightway going-over
δι' αὐτοῦ τοῦ κόρακος καὶ συμπλεκομένων ἐπὶ τοῖς
through the-very — raven and engaging on the
καταστρώμασιν, οἱ μὲν ἐφονεύοντο τῶν Καρχηδονίων,
decks some indeed were-slain of-the Carthaginians
οἱ δὲ παρεδίδοσαν ἑαυτοὺς ἐκπληττόμενοι τὸ γινόμενον·
others and surrendered themselves terrified-at the happening

παραπλήσιον γὰρ πεζομαχίας συνέβαινε τὸν κίνδυνον
similar for to-a-land-battle it-happened the struggle
ἀποτελεῖσθαι.
to-be-carried-out
διὸ καὶ τριάκοντα μὲν τὰς πρώτας συμβαλούσας ναῦς 23.7
wherefore also thirty indeed the first having-engaged ships
αὐτάνδρους ἀπέβαλον, σὺν αἷς ἐγένετ' αἰχμάλωτον καὶ
with-their-crews they-lost with which was-made captive also
τὸ τοῦ στρατηγοῦ πλοῖον· Ἀννίβας δ' ἀνελπίστως καὶ
the of-the general ship Hannibal and unexpectedly and
παραβόλως αὐτὸς ἐν τῇ σκάφῃ διέφυγεν.
recklessly himself in the skiff escaped
τὸ δὲ λοιπὸν πλῆθος τῶν Καρχηδονίων ἐποιεῖτο μὲν 23.8
the and remaining mass of-the Carthaginians made indeed
τὸν ἐπίπλουν ὡς εἰς ἐμβολήν, ἐν δὲ τῷ συνεγγίζειν
the attack as for ramming in but the to-approach
θεωροῦντες τὸ συμβεβηκὸς περὶ τὰς προπλεούσας ναῦς
seeing the having-happened about the sailing-ahead ships
ἐξέκλινον καὶ διένευον τὰς τῶν ὀργάνων ἐπιβολάς.
they-swerved and kept-clear-of the of-the engines descents
πιστεύοντες δὲ τῷ ταχυναυτεῖν, οἱ μὲν ἐκ πλαγίων, 23.9
trusting and in-the to-sail-fast some indeed from sides
οἱ δὲ κατὰ πρύμναν ἐκπεριπλέοντες ἀσφαλῶς ἤλπιζον
others and at stern sailing-round safely hoped
ποιήσασθαι τὰς ἐμβολάς.
to-make the rammings
πάντη δὲ καὶ πάντως ἀντιπεριισταμένων καὶ 23.10
everywhere but and in-every-way swinging-round and
συνδιανευόντων τῶν ὀργάνων οὕτως ὥστε κατ' ἀνάγκην
turning-together the engines so that by necessity
τοὺς ἐγγίσαντας συνδεδέσθαι, τέλος ἐγκλίναντες ἔφυγον
those having-approached to-be-bound finally having-given-way fled

οἱ Καρχηδόνιοι, καταπλαγέντες τὴν καινοτομίαν τοῦ
the Carthaginians terrified-at the novelty of-the
συμβαίνοντος, πεντήκοντα ναῦς ἀποβαλόντες.
happening fifty ships having-lost

24.1 οἱ δὲ Ῥωμαῖοι παραδόξως ἀντιπεποιημένοι τῆς κατὰ
the and Romans unexpectedly having-laid-claim of-the on
θάλατταν ἐλπίδος, διπλασίως ἐπερρώσθησαν ταῖς ὁρμαῖς
sea hope doubly were-strengthened in-the impulses
πρὸς τὸν πόλεμον.
toward the war

24.2 τότε μὲν οὖν προσσχόντες τῇ Σικελίᾳ τήν τ'
then indeed therefore having-put-in — at-Sicily the both
Αἰγεσταίων ἔλυσαν πολιορκίαν ἐσχάτως αὐτῶν ἤδη
of-Segestans they-raised siege extremely they already
διακειμένων κατά τε τὴν ἐκ τῆς Αἰγέστης ἀναχώρησιν
being-placed in both the from — Segesta withdrawal
Μάκελλαν πόλιν κατὰ κράτος εἷλον.
Macella city by force they-took

24.3 μετὰ δὲ τὴν ναυμαχίαν Ἀμίλκας, ὁ τῶν Καρχηδονίων
after and the sea-battle Hamilcar the of-the Carthaginians
στρατηγὸς ὁ τεταγμένος ἐπὶ τῶν πεζικῶν δυνάμεων,
general the-one appointed over the land forces
διατρίβων περὶ Πάνορμον, γνοὺς ἐν τοῖς Ῥωμαϊκοῖς
staying about Panormus having-learned in the Roman
στρατοπέδοις στασιάζοντας τοὺς συμμάχους πρὸς τοὺς
camps quarreling the allies with the
Ῥωμαίους περὶ τῶν ἐν ταῖς μάχαις πρωτείων,
Romans about the in the battles first-prizes

24.4 καὶ πυνθανόμενος στρατοπεδεύειν αὐτοὺς καθ' ἑαυτοὺς τοὺς
and learning to-be-encamped them by themselves the
συμμάχους μεταξὺ τοῦ Παρώπου καὶ τῶν Θερμῶν τῶν
allies between — Paropus and — Thermae of-the

Ἱμεραίων, ἐπιπεσὼν αὐτοῖς αἰφνιδίως ἀναστρατοπεδεύουσι
Himeraeans having-fallen-on them suddenly breaking-camp
μετὰ πάσης τῆς δυνάμεως σχεδὸν εἰς τετρακισχιλίους
with all the force nearly to four-thousand
ἀπέκτεινεν.
he-killed

μετὰ δὲ ταύτην τὴν πρᾶξιν ὁ μὲν Ἀννίβας ἔχων τὰς 24.5
after and this the action — indeed Hannibal having the
διασωθείσας ναῦς ἀπέπλευσεν εἰς τὴν Καρχηδόνα, μετ'
saved ships sailed-off to — Carthage after
οὐ πολὺ δ' ἐκεῖθεν εἰς Σαρδόνα διῆρε, προσλαβὼν
not long and thence to Sardinia he-crossed having-taken-in-addition
ναῦς καί τινας τῶν ἐνδόξων τριηράρχων.
ships and some of-the distinguished trierarchs

χρόνοις δ' οὐ πολλοῖς κατόπιν ἐν τῇ Σαρδόνι συγκλεισθεὶς 24.6
times and not many afterward in — Sardinia having-been-shut-in
ὑπὸ Ῥωμαίων ἔν τινι λιμένι καὶ πολλὰς ἀποβαλὼν
by Romans in some harbor and many having-lost
τῶν νεῶν, παραυτίκα συλληφθεὶς ὑπὸ τῶν διασωθέντων
of-the ships at-once having-been-seized by the saved
Καρχηδονίων ἀνεσταυρώθη.
Carthaginians he-was-crucified

Ῥωμαῖοι γὰρ ἅμα τῆς θαλάττης ἥψαντο καὶ τῶν 24.7
Romans for at-the-same-time the sea touched and the
κατὰ Σαρδόνα πραγμάτων εὐθέως ἀντείχοντο.
in Sardinia affairs straightway held-on-to

τὰ δ' ἐν τῇ Σικελίᾳ στρατόπεδα τῶν Ῥωμαίων κατὰ 24.8
the and in — Sicily legions of-the Romans during
μὲν τὸν ἑξῆς ἐνιαυτὸν οὐδὲν ἄξιον ἔπραξαν λόγου,
indeed the next year nothing worthy did of-mention

24.9 τότε δὲ προσδεξάμενοι τοὺς ἐπικαθεσταμένους ἄρχοντας
then and having-received the newly-appointed commanders
Αὖλον Ἀτίλιον καὶ Γάιον Σολπίκιον ὥρμησαν ἐπὶ τὸν
Aulus Atilius and Gaius Sulpicius they-set-out against —
Πάνορμον διὰ τὸ τὰς τῶν Καρχηδονίων δυνάμεις ἐκεῖ
Panormus because-of the the of-the Carthaginians forces there
παραχειμάζειν.
to-winter

24.10 οἱ δὲ στρατηγοὶ συνεγγίσαντες τῇ πόλει μετὰ πάσης
the and generals having-approached the city with all
τῆς δυνάμεως παρετάξαντο. τῶν δὲ πολεμίων οὐκ
the force drew-up-for-battle of-the and enemy not
ἀντεξιόντων, πάλιν ἐντεῦθεν ἐποιήσαντο τὴν ὁρμὴν
coming-out-against-(them) again from-there they-made the move
ἐπὶ πόλιν Ἱππάναν,
against the-city Hippana

24.11 καὶ ταύτην μὲν ἐξ ἐφόδου κατὰ κράτος ἔλαβον, εἷλον
and this indeed at the-first-onset by force they-took they-took
δὲ καὶ τὸ Μυττίστρατον, πολλοὺς χρόνους ὑπομεμενηκὸς
and also — Myttistratum many times having-endured
τὴν πολιορκίαν διὰ τὴν ὀχυρότητα τοῦ τόπου.
the siege because-of the strength of-the place

24.12 τὴν δὲ Καμαριναίων πόλιν μικρῷ πρότερον ἀπ᾽ αὐτῶν
the and of-Camarinaeans city a-little before from them
ἀποστᾶσαν, τότε προσενέγκαντες ἔργα καὶ καταβαλόντες
having-revolted then having-brought-up works and having-thrown-down
τὰ τείχη κατέσχον· ὁμοίως δὲ καὶ τὴν Ἔνναν καὶ ἕτερα
the walls they-occupied likewise and also — Enna and other
πλείω πολισμάτια τῶν Καρχηδονίων.
more small-towns of-the Carthaginians

ἀπὸ δὲ τούτων γενόμενοι Λιπαραίους ἐπεχείρησαν 24.13
from and these having-become-free Liparaeans they-attempted
πολιορκεῖν.
to-besiege

I.25–31 · ECNOMUS AND THE LANDING IN AFRICA

Off Tyndaris the consul Gaius Atilius nearly loses his own ship, but the Roman fleet rallies, and both sides judge the fight even. The next summer three hundred and thirty Roman ships, bound for Africa in a wedge, meet three hundred and fifty Carthaginian ships off Ecnomus; Hamilcar's feigned flight splits the wedge into three battles, all of which the Romans win, capturing sixty-four ships. The Romans take Aspis; Marcus, left with forty ships and an army, ravages the country, wins at Adys, and takes Tunis. Anxious to finish before his successor arrives, he offers terms so harsh that the Carthaginians resolve to endure anything instead.

τῷ δ' ἑξῆς ἐνιαυτῷ Γάιος Ἀτίλιος ὁ στρατηγὸς τῶν 25.1
in-the and next year Gaius Atilius the consul of-the
Ῥωμαίων πρὸς Τυνδαρίδα καθορμισθεὶς καὶ συνθεασάμενος
Romans at Tyndaris having-anchored and having-observed
ἀτάκτως παραπλέοντα τὸν τῶν Καρχηδονίων στόλον,
in-disorder sailing-past the of-the Carthaginians fleet
παραγγείλας τοῖς ἰδίοις πληρώμασιν ἕπεσθαι τοῖς ἡγουμένοις,
having-ordered the own crews to-follow the leaders
αὐτὸς ὥρμησε πρὸ τῶν ἄλλων, ἔχων δέκα ναῦς ὁμοπλοούσας.
himself set-out before the others having ten ships sailing-together
οἱ δὲ Καρχηδόνιοι συνιδόντες τῶν ὑπεναντίων τοὺς 25.2
the and Carthaginians having-seen of-the opponents some
μὲν ἀκμὴν ἐμβαίνοντας, τοὺς δ' ἀναγομένους, τοὺς δὲ
indeed still embarking others and putting-to-sea the and

πρώτους πολὺ προειληφότας τῶν ἄλλων, ἐπιστρέψαντες
first far having-got-ahead of-the others having-turned
αὐτοῖς ἀπήντων.
them met

25.3 καὶ κυκλώσαντες τὰς μὲν ἄλλας διέφθειραν, τὴν δὲ
and having-encircled the indeed others they-destroyed the and
τοῦ στρατηγοῦ ναῦν παρ᾽ ὀλίγον αὔτανδρον ἔλαβον. οὐ
of-the general ship by little with-its-crew they-took not
μὴν ἀλλ᾽ αὕτη μὲν ταῖς ὑπηρεσίαις ἐξηρτυμένη καὶ
however but this indeed with-the rowers equipped and
ταχυναυτοῦσα διέφυγε παραδόξως τὸν κίνδυνον,
sailing-fast escaped surprisingly the danger

25.4 αἱ δὲ λοιπαὶ τῶν Ῥωμαίων ἐπιπλέουσαι κατὰ βραχὺ
the and rest of-the Romans sailing-up by little
συνηθροίζοντο. γενόμεναι δ᾽ ἐν μετώπῳ συνέβαλλον τοῖς
gathered having-come and in line they-engaged the
πολεμίοις καὶ δέκα μὲν αὐτάνδρους ναῦς ἔλαβον, ὀκτὼ δὲ
enemy and ten indeed with-crews ships they-took eight and
κατέδυσαν. αἱ δὲ λοιπαὶ τῶν Καρχηδονίων ἀπεχώρησαν
they-sank the and rest of-the Carthaginians withdrew
εἰς τὰς Λιπαραίας καλουμένας νήσους.
to the Liparaean called islands

25.5 ἐκ δὲ ταύτης τῆς ναυμαχίας ἀμφότεροι νομίζοντες
from and this the sea-battle both thinking
ἐφάμιλλον πεποιῆσθαι τὸν κίνδυνον, ὥρμησαν
evenly-matched to-have-made the struggle set-out
ὁλοσχερέστερον ἐπὶ τὸ συνίστασθαι ναυτικὰς δυνάμεις καὶ
more-thoroughly to the to-build-up naval forces and
τῶν κατὰ θάλατταν ἀντέχεσθαι πραγμάτων.
the on sea to-hold-to affairs

αἱ δὲ πεζικαὶ δυνάμεις ἐν τοῖς κατὰ ταῦτα καιροῖς 25.6
the and land forces in the during these times
οὐδὲν ἔπραξαν ἄξιον μνήμης, ἀλλὰ περὶ μικρὰς καὶ τὰς
nothing did worthy of-mention but about small and the
τυχούσας πράξεις κατέτριψαν τοὺς χρόνους.
chance actions wore-away the times
διὸ παρασκευασάμενοι, καθάπερ εἶπον, εἰς τὴν 25.7
wherefore having-prepared just-as I-said for the
ἐπιφερομένην θερείαν ἀνήχθησαν Ῥωμαῖοι μὲν τριάκοντα
coming summer put-to-sea Romans indeed with-thirty
καὶ τριακοσίαις μακραῖς ναυσὶ καταφράκτοις καὶ κατέσχον
and three-hundred long ships decked and put-in
εἰς Μεσσήνην.
at Messene
ὅθεν ἀναχθέντες ἔπλεον δεξιὰν ἔχοντες τὴν Σικελίαν, 25.8
whence having-put-to-sea they-sailed on-the-right having — Sicily
κάμψαντες δὲ τὸν Πάχυνον ὑπερῆραν εἰς Ἔκνομον διὰ
having-rounded and — Pachynus they-passed-over to Ecnomus because-of
τὸ καὶ τὸ πεζὸν στράτευμα περὶ τούτους αὐτοὺς εἶναι
the also the land army about these very to-be
τοὺς τόπους.
the places
Καρχηδόνιοι δὲ πεντήκοντα καὶ τριακοσίαις ναυσὶ 25.9
Carthaginians and with-fifty and three-hundred ships
καταφράκτοις ἀναπλεύσαντες Λιλυβαίῳ προσέσχον,
decked having-sailed-up at-Lilybaeum put-in
ἐντεῦθεν δὲ πρὸς Ἡράκλειαν τὴν Μινῴαν καθωρμίσθησαν.
from-there and at Heraclea — Minoa anchored
ἦν δὲ τῶν μὲν Ῥωμαίων πρόθεσις εἰς τὴν Λιβύην πλεῖν 26.1
was and of-the indeed Romans purpose to — Libya to-sail
καὶ τὸν πόλεμον ἐκεῖ περισπᾶν, ἵνα τοῖς Καρχηδονίοις
and the war there to-divert so-that for-the Carthaginians

μὴ περὶ Σικελίας, ἀλλὰ περὶ σφῶν αὐτῶν καὶ τῆς ἰδίας
not about Sicily but about them selves and the own
χώρας ὁ κίνδυνος γίνηται.
country the danger might-be

26.2 τοῖς δὲ Καρχηδονίοις τἀναντία τούτων ἐδόκει· συνιδόντες
to-the and Carthaginians the-opposite of-these seemed-good having-seen
γὰρ ὡς εὐέφοδός ἐστιν ἡ Λιβύη καὶ πᾶς ὁ κατὰ τὴν
for that easy-to-invade is — Libya and all the in the
χώραν λαὸς εὐχείρωτος τοῖς ἅπαξ εἰς αὐτὴν ἐμβαλοῦσιν,
country people easy-to-subdue for-those once into it having-invaded
οὐχ οἷοί τ᾽ ἦσαν ἐπιτρέπειν, ἀλλὰ διακινδυνεύειν καὶ
not able — they-were to-permit-(it) but to-run-the-risk and
ναυμαχεῖν ἔσπευδον.
to-fight-at-sea they-were-eager

26.3 ὄντων δὲ τῶν μὲν πρὸς τὸ κωλύειν, τῶν δὲ πρὸς
being and the(-ones) indeed for the to-prevent the(-others) and for
τὸ βιάζεσθαι, προφανὴς ἦν ὁ μέλλων ἀγὼν ἐκ τῆς
the to-force-through evident was the about-to-be contest from the
ἑκατέρων συνίστασθαι φιλοτιμίας.
of-both to-arise ambition

26.4 οἱ μὲν οὖν Ῥωμαῖοι πρὸς ἀμφότερα τὴν παρασκευὴν
the indeed therefore Romans for both-purposes the preparation
ἁρμόζουσαν ἐποιοῦντο πρός τε τὴν κατὰ θάλατταν χρείαν
fitting made for both the on sea need
καὶ πρὸς τὴν ἀπόβασιν τὴν εἰς τὴν πολεμίαν.
and for the landing the into the enemy's-country

26.5 διόπερ ἐπιλέξαντες ἐκ τῶν πεζικῶν στρατοπέδων τὰς
wherefore having-picked-out from the land legions the
ἀρίστας χεῖρας διεῖλον τὴν πᾶσαν δύναμιν, ἣν ἤμελλον
best hands they-divided the whole force which they-were-about
ἀναλαμβάνειν, εἰς τέτταρα μέρη.
to-take-on-board into four parts

τὸ δὲ μέρος ἕκαστον διττὰς εἶχεν προσηγορίας· πρῶτον 26.6
the and part each double had names first
μὲν γὰρ ἐκαλεῖτο στρατόπεδον καὶ πρῶτος στόλος καὶ
indeed for was-called legion and first squadron and
τὰ λοιπὰ κατὰ λόγον. τὸ δὲ τέταρτον καὶ τρίτην
the rest according-to reckoning the and fourth also a-third
ἐπωνυμίαν ἔτι προσειλήφει· τριάριοι γὰρ ὠνομάζοντο
name further had-taken-in-addition triarii for were-named
κατὰ τὴν ἐν τοῖς πεζικοῖς στρατοπέδοις συνήθειαν.
according-to the in the land legions custom
καὶ τὸ μὲν σύμπαν ἦν στράτευμα τούτων τῆς ναυτικῆς 26.7
and the indeed whole was army of-these of-the naval
δυνάμεως περὶ τέτταρας καὶ δέκα μυριάδας, ὡς ἂν
force about four and ten myriads as —
ἑκάστης νεὼς λαμβανούσης ἐρέτας μὲν τριακοσίους,
each ship taking rowers indeed three-hundred
ἐπιβάτας δ' ἑκατὸν εἴκοσιν.
marines and a-hundred twenty
οἱ δὲ Καρχηδόνιοι τὸ μὲν πλεῖον καὶ τὸ πᾶν ἡρμόζοντο πρὸς 26.8
the and Carthaginians the indeed greater and the whole fitted for
τὸν κατὰ θάλατταν κίνδυνον· τό γε μὴν πλῆθος αὐτῶν ἦν
the on sea struggle the at-least indeed number of-them was
ὑπὲρ πεντεκαίδεκα μυριάδας κατὰ τὸν τῶν νεῶν λόγον.
above fifteen myriads according-to the of-the ships reckoning
ἐφ' οἷς οὐχ οἷον ἄν τις παρὼν καὶ θεώμενος ὑπὸ 26.9
at which not only — anyone being-present and watching under
τὴν ὄψιν, ἀλλὰ κἂν ἀκούων καταπλαγείη τὸ τοῦ
the sight but even-if hearing would-be-astounded-at the of-the
κινδύνου μέγεθος καὶ τὴν τῶν πολιτευμάτων ἀμφοτέρων
struggle greatness and the of-the polities both

μεγαλομερίαν καὶ δύναμιν, στοχαζόμενος ἔκ τε τοῦ τῶν
magnificence and power conjecturing from both the of-the
ἀνδρῶν καὶ τοῦ τῶν νεῶν πλήθους.
men and the of-the ships number

26.10 οἱ δὲ Ῥωμαῖοι συλλογιζόμενοι διότι τὸν μὲν πλοῦν
the and Romans reckoning that the indeed voyage
εἶναι συμβαίνει πελάγιον, τοὺς δὲ πολεμίους ταχυναυτεῖν,
to-be happens on-the-open-sea the and enemy to-sail-fast
πανταχόθεν ἐπειρῶντο ποιεῖσθαι τὴν τάξιν ἀσφαλῆ καὶ
from-all-sides tried to-make the formation safe and
δυσπρόσοδον.
hard-to-approach

26.11 τὰς μὲν οὖν ἑξήρεις δύ' οὔσας, ἐφ' ὧν ἔπλεον οἱ
the indeed therefore six-bank-ships two being on which sailed the
στρατηγοὶ Μάρκος Ἀτίλιος καὶ Λεύκιος Μάλιος, πρώτας
consuls Marcus Atilius and Lucius Manlius first
ἐν μετώπῳ παραλλήλους ἔταξαν.
in front side-by-side they-placed

26.12 τούτων δ' ἑκατέρᾳ συνεχεῖς κατὰ μίαν ναῦν ἐπιτάττοντες
of-these and to-each continuous by one ship placing-behind
τῇ μὲν τὸν πρῶτον, τῇ δὲ τὸν δεύτερον στόλον
to-the indeed the first to-the and the second squadron
ἐπέστησαν, ἀεὶ καθ' ἑκάστην ναῦν ἑκατέρου τοῦ στόλου
they-stationed always by each ship of-each the squadron
μεῖζον τὸ μεταξὺ ποιοῦντες διάστημα. ταῖς δὲ πρώρραις
greater the between making interval with-the and prows
ἔξω νεύοντα τὰ σκάφη τὴν ἐπίστασιν ἐπ' ἀλλήλοις εἶχεν.
outward inclining the vessels the station on one-another had

26.13 ἐπειδὴ δὲ τὸν πρῶτον καὶ δεύτερον στόλον ἁπλῶς εἰς
when and the first and second squadron simply into
ἔμβολον ἔταξαν, ἐπέβαλον τούτοις ἐπὶ μίαν ναῦν
a-wedge they-drew-up they-placed-behind these on one ship

ἐν μετώπῳ τὸ τρίτον στρατόπεδον· ὧν ἐπιστάντων
in front the third legion which having-taken-station
ἀπετελέσθη τρίγωνον τὸ πᾶν εἶδος τῆς τάξεως.
was-completed a-triangle the whole form of-the formation
ἐπὶ δὲ τούτοις ἐπέστησαν τὰς ἱππηγούς, ῥύματα δόντες 26.14
behind and these they-stationed the horse-transports towing-ropes having-given
ἐξ αὐτῶν ταῖς τοῦ τρίτου στόλου ναυσίν.
from them to-the of-the third squadron ships
ταύταις δὲ κατόπιν ἐπέβαλον τὸν τέταρτον στόλον, τοὺς 26.15
these and behind they-placed the fourth squadron those
τριαρίους κληθέντας, ἐπὶ μίαν παρεκτείναντες ναῦν, ὡς
triarii called on one having-extended ship so-as
ὑπερτείνειν ἐξ ἑκατέρου τοῦ μέρους τοὺς πρὸ ἑαυτῶν.
to-overlap on each the side those before themselves
καὶ συναρμοσθέντων πάντων κατὰ τὸν εἰρημένον τρόπον, 26.16
and having-been-fitted-together all in the said way
τὸ μὲν ὅλον ἀπετελέσθη σχῆμα τῆς τάξεως ἔμβολον,
the indeed whole was-completed figure of-the formation a-wedge
οὗ τὸ μὲν ἐπὶ τὴν κορυφὴν μέρος ἦν κοῖλον, τὸ
of-which the indeed toward the apex part was hollow the
δὲ πρὸς τῇ βάσει στερεόν, τὸ δὲ σύμπαν ἐνεργὸν καὶ
and at the base solid the and whole effective and
πρακτικόν, ἅμα δὲ καὶ δυσδιάλυτον.
practical at-the-same-time and also hard-to-break
οἱ δὲ τῶν Καρχηδονίων στρατηγοὶ κατὰ τὸν αὐτὸν 27.1
the and of-the Carthaginians generals at the same
καιρὸν παρακαλέσαντες τὰ πλήθη διὰ βραχέων καὶ
time having-exhorted the masses through few-words and
συνυποδείξαντες αὐτοῖς ὅτι νικήσαντες μὲν τῇ ναυμαχίᾳ
having-shown them that having-conquered indeed in-the sea-battle
περὶ Σικελίας ποιήσονται τὸν πόλεμον, ἡττηθέντες δὲ περὶ
about Sicily they-will-make the war having-been-defeated but about

τῆς σφετέρας πατρίδος κινδυνεύσουσιν καὶ τῶν ἀναγκαίων,
the their-own fatherland they-will-run-risk and the necessities
οὕτως αὐτοῖς παρήγγειλαν ἐμβαίνειν εἰς τὰς ναῦς.
thus them they-ordered to-embark into the ships

27.2 προθύμως δὲ πάντων ποιούντων τὸ παραγγελλόμενον
eagerly and all doing the(-thing) being-ordered
διὰ τὸ προορᾶσθαι τὸ μέλλον ἐκ τῶν εἰρημένων,
because-of the to-foresee the future from the-things said
εὐθαρσῶς ἀνήγοντο καὶ καταπληκτικῶς.
confidently they-put-to-sea and terrifyingly

27.3 θεωροῦντες δὲ τὴν τῶν πολεμίων τάξιν οἱ στρατηγοὶ
seeing and the of-the enemy formation the generals
καὶ πρὸς ταύτην ἁρμοζόμενοι τὰ μὲν τρία μέρη τῆς
and to this adapting the indeed three parts of-the
αὑτῶν δυνάμεως ἐπὶ μίαν ἔταττον ναῦν, πρὸς τὸ πέλαγος
their-own force on one they-drew-up ship toward the sea
ἀνατείναντες τὸ δεξιὸν κέρας, ὡς κυκλώσοντες τοὺς
having-extended the right wing as to-be-going-to-encircle the
ὑπεναντίους, πάσας ἱστάντες ἀντιπρώρους τὰς ναῦς τοῖς
opponents all setting prow-on the ships to-the
πολεμίοις. τὸ δὲ τέταρτον εὐώνυμον τῆς ὅλης τάξεως
enemy the and fourth left of-the whole formation
ἐποίουν,
they-made

27.4 ἐν ἐπικαμπίῳ νεῦον πρὸς τὴν γῆν.
in an-angle inclining toward the land

27.5 ἡγοῦντο δὲ τῶν Καρχηδονίων τοῦ μὲν δεξιοῦ κέρως,
commanded and of-the Carthaginians the indeed right wing
ἔχων ἐπίπλους καὶ πεντήρεις τὰς μάλιστα ταχυναυτούσας
having raiding-ships and quinqueremes the most sailing-fast

πρὸς τὴν ὑπερκέρασιν, Ἄννων ὁ περὶ τὸν Ἀκράγαντα
for the outflanking Hanno the(-one) at — Agrigentum
λειφθεὶς τῇ παρατάξει·
defeated in-the battle
τῶν δ' εὐωνύμων εἶχε τὴν ἐπιμέλειαν Ἀμίλκας ὁ 27.6
of-the and left had the charge Hamilcar the-one
περὶ τὴν Τυνδαρίδα ναυμαχήσας· ὃς τότε κατὰ μέσην
at — Tyndaris having-fought-at-sea who then in middle
τὴν τάξιν ποιούμενος τὸν κίνδυνον ἐχρήσατό τινι
the formation making the struggle used some
στρατηγήματι κατὰ τὸν ἀγῶνα τοιῷδε.
stratagem in the contest such
τῶν γὰρ Ῥωμαίων συνθεασαμένων ἐπὶ λεπτὸν ἐκτεταμένους 27.7
the for Romans having-observed into a-thin-line extended
τοὺς Καρχηδονίους καὶ ποιησαμένων τὴν ὁρμὴν ἐπὶ
the Carthaginians and having-made the charge on
μέσους, τὴν μὲν ἀρχὴν ὁ κίνδυνος ἔλαβε τοιαύτην.
the-middle the indeed beginning the struggle took such
ταχὺ δὲ τῶν περὶ τὰ μέσα Καρχηδονίων ἐκ παραγγέλματος 27.8
quickly and those about the middle Carthaginians by order
κλινάντων πρὸς φυγὴν χάριν τοῦ διασπάσαι τὴν τῶν
having-turned to flight for-the-sake of-the to-break-up the of-the
Ῥωμαίων τάξιν, οὗτοι μὲν ὑπεχώρουν μετὰ σπουδῆς, οἱ
Romans formation these indeed withdrew with haste the
δὲ Ῥωμαῖοι κατόπιν ἠκολούθουν ἐκθύμως.
and Romans behind followed furiously
ὁ μὲν οὖν πρῶτος καὶ δεύτερος στόλος ἐπέκειτο τοῖς 27.9
the indeed therefore first and second squadron pressed-on those
φεύγουσιν, τὸ δὲ τρίτον καὶ τὸ τέταρτον στρατόπεδον
fleeing the and third and the fourth legion

ἀπεσπᾶτο, τῶν μὲν ῥυμουλκούντων τὰς ἱππηγοὺς ναῦς,
was-separated the(-ones) indeed towing the horse-transport ships
τῶν δὲ τριαρίων συμμενόντων καὶ συνεφεδρευόντων τούτοις.
the and triarii staying-with and keeping-reserve-with these
27.10 ἐπεὶ δὲ τὸν πρῶτον καὶ δεύτερον στόλον ἱκανὸν τῶν
when and the first and second squadron sufficient from-the
ἄλλων ἐδόκουν ἀπεσπακέναι τόπον οἱ Καρχηδόνιοι,
others seemed to-have-drawn-off space the Carthaginians
συνθήματος ἀρθέντος ἐκ τῆς Ἀμίλκου νεὼς μετεβάλοντο
a-signal having-been-raised from the of-Hamilcar ship turned-about
πάντες ἅμα καὶ συνέβαλον τοῖς ἐπικειμένοις.
all at-once and engaged those pressing-on
27.11 ἀγῶνος δὲ συστάντος καρτεροῦ, τῷ μὲν ταχυναυτεῖν
a-contest and having-arisen hard by-the indeed to-sail-fast
ἐκπεριπλέοντες καὶ ῥᾳδίως μὲν προσιόντες ὀξέως δ᾽
sailing-round and easily indeed approaching quickly and
ἀποχωροῦντες πολὺ περιῆσαν οἱ Καρχηδόνιοι,
withdrawing much were-superior the Carthaginians
27.12 τῷ δὲ βιαιομαχεῖν κατὰ τὰς συμπλοκὰς καὶ συνδεῖν τοῖς
by-the and to-fight-by-force in the engagements and to-bind with-the
κόραξιν τοὺς ἅπαξ ἐγγίσαντας, ἅμα δὲ καὶ τῷ
ravens those once having-approached at-the-same-time and also by-the
συναγωνιζομένων ἀμφοτέρων τῶν στρατηγῶν ἐν ὄψει τῶν
fighting-alongside both the consuls in sight of-the
ἡγουμένων ποιεῖσθαι τὸν κίνδυνον, οὐχ ἧττον ἐπικυδεστέρας
commanders to-make the struggle not less more-glorious
εἶχον οἱ Ῥωμαῖοι τῶν Καρχηδονίων τὰς ἐλπίδας.
had the Romans than-the Carthaginians the hopes
27.13 ἡ μὲν οὖν κατὰ τούτους μάχη τοιαύτην εἶχε διάθεσιν.
the indeed therefore among these battle such had condition

κατὰ δὲ τὸν αὐτὸν καιρὸν τὸ μὲν δεξιὸν κέρας ἔχων Ἄννων, 28.1
at and the same time the indeed right wing having Hanno
τὸ μεῖναν ἐν ἀποστάσει κατὰ τὴν πρώτην συμβολήν,
the(-one) having-remained at a-distance in the first engagement
τό τε πέλαγος ὑπεράρας ἐνέβαλε ταῖς τῶν τριαρίων ναυσὶ
the both open-sea having-crossed attacked the of-the triarii ships
καὶ πολλὴν ἀπορίαν παρεῖχε καὶ δυσχρηστίαν αὐτοῖς.
and much perplexity caused and difficulty to-them
οἱ δὲ παρὰ τὴν γῆν τεταγμένοι τῶν Καρχηδονίων 28.2
those and along the land stationed of-the Carthaginians
παραγεγονότες εἰς μέτωπον ἐκ τῆς προϋπαρχούσης
having-come into line from the previously-existing
τάξεως καὶ ποιήσαντες ἀντιπρώρρους τὰς ναῦς ἐνέβαλον
formation and having-made prow-on the ships attacked
τοῖς ῥυμουλκοῦσι τὰς ἱππηγούς· οἱ δ’ ἀφέμενοι τὰ
those towing the horse-transports they and having-let-go the
ῥύματα συνεπλέκοντο καὶ διηγωνίζοντο τοῖς πολεμίοις.
towing-ropes engaged and fought-it-out with-the enemy
ἦν δὲ τρία μέρη τῆς ὅλης συμπλοκῆς, καὶ τρεῖς ναυμαχίαι 28.3
were and three parts of-the whole engagement and three sea-battles
συνέστησαν πολὺ κεχωρισμέναι τοῖς τόποις ἀλλήλων·
arose far separated in-the places from-one-another
τῷ δ’ ἑκατέρων πάρισα τὰ μέρη γενέσθαι κατὰ τὸν 28.4
by-the and of-each nearly-equal the parts to-be according-to the
ἐξ ἀρχῆς χειρισμὸν ἐφάμιλλον εἶναι συνέβαινε καὶ τὸν
from the-beginning management evenly-matched to-be it-happened also the
κίνδυνον.
struggle

28.5 οὐ μὴν ἀλλὰ τὸ κατὰ λόγον ἐν ἑκάστοις ἐπετελεῖτο
not however but the according-to reckoning in each was-accomplished
περὶ τὴν μάχην, ὅπερ εἰκὸς ὅταν ᾖ παραπλήσια πάντα
about the battle which is-likely whenever are similar all
τὰ τῶν ἀγωνιζομένων.
the-things of-those contending

28.6 οἱ γὰρ πρῶτοι κινδυνεύσαντες πρῶτοι καὶ διεκρίθησαν·
those for first having-engaged first also were-decided
τέλος γὰρ ἐκβιασθέντες οἱ περὶ τὸν Ἀμίλκαν εἰς
finally for having-been-overpowered those about — Hamilcar into
φυγὴν ὥρμησαν.
flight set-out

28.7 ὁ μὲν οὖν Λεύκιος ἀνεδεῖτο τὰς αἰχμαλώτους ναῦς·
— indeed therefore Lucius was-taking-in-tow the captured ships
ὁ δὲ Μάρκος συνορῶν τὸν περὶ τοὺς τριαρίους καὶ τὰς
— and Marcus seeing the about the triarii and the
ἱππηγοὺς ἀγῶνα κατὰ σπουδὴν ἐβοήθει τούτοις, ἔχων
horse-transports contest in haste helped these having
τοῦ δευτέρου στόλου τὰς ἀκεραίους ναῦς.
of-the second squadron the undamaged ships

28.8 συνάψαντος δὲ καὶ προσμίξαντος αὐτοῦ τοῖς περὶ τὸν
having-closed and and having-engaged he with-those about —
Ἄννωνα, ταχέως ἀναθαρρήσαντες οἱ τριάριοι, καίπερ ἤδη
Hanno quickly having-taken-courage the triarii although already
κακῶς ἀπαλλάττοντες, πάλιν ἐπερρώσθησαν πρὸς τὸν
badly faring again were-strengthened for the
κίνδυνον.
struggle

28.9 οἱ δὲ Καρχηδόνιοι, τῶν μὲν κατὰ πρόσωπον αὐτοῖς
the and Carthaginians some indeed in front them
προσμαχομένων, τῶν δὲ κατὰ νώτου προσπιπτόντων,
fighting others and in rear falling-on

δυσχρηστούμενοι καὶ παραδόξως ὑπὸ τῶν βοηθησάντων
being-in-difficulties and unexpectedly by those having-helped
κυκλούμενοι, κλίναντες πελαγίαν ἐποιοῦντο τὴν
being-encircled having-given-way to-the-open-sea made the
ὑποχώρησιν.
withdrawal
κατὰ δὲ τὸν αὐτὸν καιρὸν ὅ τε Λεύκιος ἐπαναπλέων 28.10
at and the same time — both Lucius sailing-back
ἤδη καὶ θεωρῶν συγκεκλεισμένον πρὸς τῇ γῇ τὸν τρίτον
already and seeing shut-in against the land the third
στόλον ὑπὸ τοῦ τῶν Καρχηδονίων εὐωνύμου κέρατος, ὅ
squadron by the of-the Carthaginians left wing —
τε Μάρκος ἐν ἀσφαλεῖ καταλιπὼν τὰς ἱππηγοὺς καὶ τοὺς
and Marcus in safety having-left the horse-transports and the
τριαρίους ὥρμησαν ἀμφότεροι βοηθεῖν τοῖς κινδυνεύουσι.
triarii set-out both to-help those running-risk
παραπλήσιον γὰρ ἦν ἤδη τὸ γινόμενον πολιορκίᾳ· καὶ 28.11
similar for was already the happening to-a-siege and
πάντες ἂν ἀπολώλεισαν οὗτοί γε προφανῶς, εἰ μὴ
all — would-have-perished these at-least evidently if not
δεδιότες τοὺς κόρακας οἱ Καρχηδόνιοι περιφράξαντες μὲν
fearing the ravens the Carthaginians having-hemmed-in indeed
αὐτοὺς πρὸς τῇ γῇ συνεῖχον, πρὸς δὲ τὰς ἐμβολὰς
them against the land held-(them) to and the rammings
διὰ τὴν συμπλοκὴν εὐλαβῶς ἔχοντες οὐ προσῄεσαν.
because-of the grappling cautiously being not they-approached
ταχέως δ' ἐπιγενόμενοι καὶ κυκλώσαντες οἱ στρατηγοὶ 28.12
quickly and having-come-up and having-encircled the consuls
τοὺς Καρχηδονίους αὐτάνδρους μὲν ἔλαβον πεντήκοντα
the Carthaginians with-crews indeed they-took fifty

ναῦς τῶν πολεμίων, ὀλίγαι δέ τινες παρὰ τὴν γῆν
ships of-the enemy few and some along the land
ἐξελίξασαι διέφυγον.
having-wheeled-out escaped

28.13 ὁ μὲν οὖν κατὰ μέρος κίνδυνος τοιαύτην ἔσχε τὴν
the indeed therefore by part danger such had the
διάθεσιν, τὸ δὲ τέλος τῆς συμπάσης ναυμαχίας ἐγένετο
condition the and end of-the whole sea-battle was
κατὰ τοὺς Ῥωμαίους.
in-favor-of the Romans

28.14 διεφθάρη δὲ τούτων μὲν εἴκοσι καὶ τέτταρα σκάφη,
were-destroyed and of-these indeed twenty and four vessels
τῶν δὲ Καρχηδονίων ὑπὲρ τριάκοντα. ναῦς δὲ τῶν
of-the and Carthaginians above thirty ship and of-the
μὲν Ῥωμαίων αὔτανδρος οὐδεμία τοῖς πολεμίοις ἐγένεθ'
indeed Romans with-crew none to-the enemy became
ὑποχείριος, τῶν δὲ Καρχηδονίων ἑξήκοντα καὶ τέτταρες.
subject of-the and Carthaginians sixty and four

29.1 μετὰ δὲ ταῦτα πάλιν οἱ Ῥωμαῖοι προσεπισιτισάμενοι
after and these-things again the Romans having-provisioned-besides
καὶ τὰς αἰχμαλώτους ναῦς καταρτίσαντες, ἔτι δὲ τὴν
and the captured ships having-refitted further and the
ἁρμόζουσαν τοῖς προτερήμασιν ἐπιμέλειαν ποιησάμενοι
fitting to-the successes care having-made
τῶν πληρωμάτων ἀνήγοντο ποιούμενοι τὸν πλοῦν ὡς
of-the crews put-to-sea making the voyage as
ἐπὶ τὴν Λιβύην.
toward — Libya

29.2 προσσχόντες δὲ ταῖς πρώταις πλεούσαις ναυσὶν ὑπὸ τὴν
having-put-in and with-the first sailing ships under the
ἄκραν τὴν Ἑρμαίαν ἐπονομαζομένην, ἣ πρὸ παντὸς τοῦ
headland the Hermaean called which before all the

περὶ τὴν Καρχηδόνα κόλπου κειμένη προτείνει πελάγιος
about — Carthage gulf lying stretches seaward
ὡς πρὸς τὴν Σικελίαν, καὶ προσδεξάμενοι τὰς ἐπιπλεούσας
as toward — Sicily and having-received the sailing-up
ἐνταῦθα ναῦς καὶ πάντα συναθροίσαντες τὸν στόλον
there ships and all having-collected the fleet
ἔπλεον παρὰ τὴν χώραν, ἕως ἐπὶ τὴν Ἀσπίδα καλουμένην
they-sailed along the country as-far to — Aspis called
πόλιν ἀφίκοντο.
city arrived

ποιησάμενοι δὲ τὴν ἀπόβασιν ἐνταῦθα καὶ νεωλκήσαντες, 29.3
having-made and the landing there and having-drawn-up-on-shore
ἔτι δὲ τάφρῳ καὶ χάρακι περιλαβόντες τὰς ναῦς
further and with-trench and palisade having-enclosed the ships
ἐγίνοντο πρὸς τὸ πολιορκεῖν αὐτήν, οὐ βουλομένων
they-turned to the to-besiege it not wishing
ἑκουσίως σφίσι προσχωρῆσαι τῶν κατεχόντων τὴν πόλιν.
willingly to-them to-come-over those holding the city

οἱ δὲ διαφυγόντες ἐκ τοῦ κατὰ τὴν ναυμαχίαν κινδύνου 29.4
those and having-escaped from the in the sea-battle danger
τῶν Καρχηδονίων καταπλεύσαντες καὶ πεπεισμένοι τοὺς
of-the Carthaginians having-sailed-home and convinced the
ὑπεναντίους ἐκ τοῦ γεγονότος προτερήματος ἐπαρθέντας
opponents from the having-happened success elated
εὐθέως ποιήσεσθαι τὸν ἐπίπλουν ἐπ᾽ αὐτὴν τὴν
straightway to-be-going-to-make the attack upon the-very —
Καρχηδόνα, παρετήρουν ταῖς πεζικαῖς καὶ ναυτικαῖς
Carthage were-watching with-the land and naval
δυνάμεσι τοὺς προκειμένους τῆς πόλεως τόπους.
forces the lying-before of-the city places

29.5 ἐπιγνόντες δὲ τοὺς Ῥωμαίους ἀσφαλῶς ἀποβεβηκότας καὶ
having-learned and the Romans safely having-landed and
πολιορκοῦντας τὴν Ἀσπίδα, τοῦ μὲν παραφυλάττειν τὸν
besieging — Aspis the indeed to-guard-against the
ἐπίπλουν ἀπέγνωσαν, συνήθροιζον δὲ τὰς δυνάμεις καὶ
attack they-gave-up they-collected and the forces and
περὶ φυλακὴν ἐγίνοντο τῆς τε πόλεως καὶ τῆς χώρας.
about guard turned of-the both city and the country
29.6 οἱ δὲ Ῥωμαῖοι κυριεύσαντες τῆς Ἀσπίδος καὶ φυλακὴν
the and Romans having-mastered — Aspis and a-guard
ἀπολιπόντες τῆς πόλεως καὶ χώρας, ἔτι δὲ πρεσβευτὰς
having-left of-the city and country further and envoys
εἰς τὴν Ῥώμην πέμψαντες τοὺς ἀπαγγελοῦντας μὲν περὶ
to — Rome having-sent those to-be-going-to-report indeed about
τῶν γεγονότων, ἐρησομένους δὲ περὶ τῶν μελλόντων τί
the events to-be-going-to-ask and about the coming-things what
δεῖ ποιεῖν καὶ πῶς χρῆσθαι τοῖς πράγμασιν, μετὰ
it-is-needful to-do and how to-deal-with the affairs after
δὲ ταῦτα πάσῃ τῇ δυνάμει κατὰ σπουδὴν ἀναζεύξαντες
and these-things with-all the force in haste having-broken-camp
ὥρμησαν ἐπὶ τὸ πορθεῖν τὴν χώραν.
set-out to the to-ravage the country
29.7 οὐδενὸς δ' ἐμποδὼν ἱσταμένου, πολλὰς μὲν οἰκήσεις
no-one and in-the-way standing many indeed dwellings
περιττῶς κατεσκευασμένας διέφθειραν, πολὺ δὲ πλῆθος
lavishly built they-destroyed much and number
τῆς τετραπόδου λείας περιεβάλοντο· σώματα δὲ πλείω
of-the four-footed booty they-took persons and more
τῶν δισμυρίων ἐπὶ τὰς ναῦς ἀνήγαγον.
than-the twenty-thousand to the ships they-brought-up

ἐν δὲ τούτῳ τῷ καιρῷ παρῆσαν ἐκ τῆς Ῥώμης οἱ 29.8
in and this the time were-there from — Rome those
διασαφοῦντες ὅτι δεῖ τὸν μὲν ἕνα τῶν στρατηγῶν
making-clear that it-is-needful the indeed one of-the consuls
μένειν ἔχοντα δυνάμεις τὰς ἀρκούσας, τὸν δ' ἕτερον
to-stay having forces the sufficient the and other
ἀποκομίζειν εἰς τὴν Ῥώμην τὸν στόλον.
to-bring-back to — Rome the fleet
ὁ μὲν οὖν Μάρκος ἔμενεν, ὑπολειπόμενος ναῦς 29.9
— indeed therefore Marcus remained keeping-back ships
τετταράκοντα καὶ πεζοὺς μυρίους καὶ πεντακισχιλίους,
forty and foot ten-thousand and five-thousand
ἱππεῖς δὲ πεντακοσίους·
horsemen and five-hundred
ὁ δὲ Λεύκιος ἀναλαβὼν τὰ πληρώματα καὶ τὸ τῶν 29.10
— and Lucius having-taken-up the crews and the of-the
αἰχμαλώτων πλῆθος καὶ κομισθεὶς παρὰ τὴν Σικελίαν
captives number and having-been-conveyed along — Sicily
ἀσφαλῶς ἦκεν εἰς τὴν Ῥώμην.
safely came to — Rome
οἱ δὲ Καρχηδόνιοι θεωροῦντες τὴν τῶν πολεμίων 30.1
the and Carthaginians seeing the of-the enemy
παρασκευὴν χρονιωτέραν οὖσαν, πρῶτον μὲν στρατηγοὺς
preparation more-lasting being first indeed generals
ἑαυτῶν εἵλοντο δύο, τόν τ' Ἄννωνος Ἀσδρούβαν καὶ
of-themselves chose two — both of-Hanno Hasdrubal and
Βώσταρον, μετὰ δὲ ταῦτα πρὸς τὸν Ἀμίλκαν ἔπεμπον
Bostar after and these-things to — Hamilcar they-sent
εἰς τὴν Ἡράκλειαν, καλοῦντες κατὰ τάχος αὐτόν.
to — Heraclea calling in haste him

30.2 ὁ δ' ἀναλαβὼν ἱππεῖς πεντακοσίους καὶ πεζοὺς
he and having-taken horsemen five-hundred and foot
πεντακισχιλίους παρῆν εἰς τὴν Καρχηδόνα· καὶ
five-thousand arrived at — Carthage and
κατασταθεὶς στρατηγὸς τρίτος ἐβουλεύετο μετὰ τῶν
having-been-appointed general third deliberated with those
περὶ τὸν Ἀσδρούβαν πῶς δεῖ χρῆσθαι τοῖς παροῦσιν.
about — Hasdrubal how it-is-needful to-deal-with the present-things
30.3 ἔδοξεν οὖν αὐτοῖς βοηθεῖν τῇ χώρᾳ καὶ μὴ περιορᾶν
it-seemed-good therefore to-them to-help the country and not to-overlook
αὐτὴν ἀδεῶς πορθουμένην.
it fearlessly being-ravaged
30.4 ὁ δὲ Μάρκος μετά τινας ἡμέρας ἐπεπορεύετο, τὰ μὲν
— and Marcus after some days advanced the indeed
ἀτείχιστα τῶν ἐρυμάτων ἐξ ἐφόδου διαρπάζων, τὰ δὲ
unwalled of-the strongholds at the-first-onset plundering the and
τετειχισμένα πολιορκῶν.
walled besieging
30.5 ἀφικόμενος δὲ πρὸς πόλιν Ἀδὺν ἀξιόχρεω,
having-arrived and at a-city Adys considerable
περιστρατοπεδεύσας ταύτην συνίστατο μετὰ σπουδῆς
having-encamped-around this he-set-about with zeal
ἔργα καὶ πολιορκίαν.
works and siege
30.6 οἱ δὲ Καρχηδόνιοι τῇ τε πόλει σπουδάζοντες βοηθῆσαι
the and Carthaginians the both city being-eager to-help
καὶ τῶν ὑπαίθρων ἀντιποιεῖσθαι κρίνοντες ἐξῆγον τὴν
and the open-country to-contest deciding led-out the
δύναμιν.
force

καὶ καταλαβόμενοι λόφον ὑπερδέξιον μὲν τῶν 30.7
and having-seized a-hill overlooking indeed the
πολεμίων, ἀφυῆ δὲ ταῖς ἑαυτῶν δυνάμεσιν, ἐν
enemy unsuitable but for-the their-own forces on
τούτῳ κατεστρατοπέδευσαν.
this they-encamped
λοιπὸν ἔχοντες μὲν τὰς πλείστας ἐλπίδας ἐν τοῖς ἱππεῦσιν 30.8
consequently having indeed the most hopes in the horsemen
καὶ τοῖς θηρίοις, ἀφέμενοι δὲ τῶν ἐπιπέδων χωρίων
and the beasts having-given-up and the level grounds
καὶ συγκλείσαντες σφᾶς αὐτοὺς εἰς τόπους ἐρυμνοὺς καὶ
and having-shut-in them selves into places strong and
δυσβάτους, ἔμελλον διδάξειν τοὺς πολεμίους ὃ δέον
hard-to-reach they-were-about to-teach the enemy what needful
ἦν πράττειν κατ᾽ αὐτῶν. ὃ δὴ καὶ συνέβη γενέσθαι.
was to-do against them which indeed also happened to-come-about
συννοήσαντες γὰρ οἱ τῶν Ῥωμαίων ἡγεμόνες ἐμπείρως ὅτι 30.9
having-understood for the of-the Romans commanders expertly that
τὸ πρακτικώτατον καὶ φοβερώτατον τῆς τῶν ὑπεναντίων
the most-effective and most-fearsome of-the of-the opponents
δυνάμεως ἠχρείωται διὰ τοὺς τόπους, οὐκ ἀνέμειναν
force has-been-made-useless because-of the places not they-waited
ἕως ἐκεῖνοι καταβάντες εἰς τὰ πεδία παρετάξαντο,
until those having-come-down into the plains drew-up
χρώμενοι δὲ τοῖς ἰδίοις καιροῖς ἅμα τῷ φωτὶ 30.10
using and the own opportunities at-the-same-time with-the light
προσέβαινον ἐξ ἑκατέρου τοῦ μέρους πρὸς τὸν λόφον.
they-advanced from each the side toward the hill
οἱ μὲν οὖν ἱππεῖς καὶ τὰ θηρία τοῖς Καρχηδονίοις ἦν 30.11
the indeed therefore horsemen and the beasts for-the Carthaginians were
ἄχρηστα τελέως· οἱ δὲ μισθοφόροι πάνυ γενναίως καὶ
useless completely the and mercenaries very nobly and

προθύμως ἐκβοηθήσαντες τὸ μὲν πρῶτον στρατόπεδον
eagerly having-sallied the indeed first legion
ἠνάγκασαν ἐκκλῖναι καὶ φυγεῖν·
compelled to-give-way and to-flee

30.12 ἐπεὶ δὲ προπεσόντες καὶ κυκλωθέντες ὑπὸ τῶν ἐκ
when but having-advanced-too-far and having-been-encircled by those from
θατέρου μέρους προσβαινόντων ἐτράπησαν, μετὰ ταῦτα
the-other side approaching they-were-routed after these-things
πάντες εὐθὺς ἐκ τῆς στρατοπεδείας ἐξέπεσον.
all straightway from the encampment were-driven-out

30.13 τὰ μὲν οὖν θηρία μετὰ τῶν ἱππέων, ἐπεὶ τάχιστα
the indeed therefore beasts with the horsemen as soon-as
τῶν ὁμαλῶν ἥψατο, μετ᾽ ἀσφαλείας ἐποιοῦντο τὴν
the level-ground they-touched with safety made the
ἀποχώρησιν·
withdrawal

30.14 οἱ δὲ Ῥωμαῖοι τοὺς πεζοὺς βραχὺν ἐπιδιώξαντες τόπον
the and Romans the foot a-short having-pursued distance
καὶ τὸν χάρακα διαρπάσαντες, μετὰ δὲ ταῦτα πᾶσαν
and the palisade having-plundered after and these-things all
ἐπιπορευόμενοι τὴν χώραν καὶ τὰς πόλεις ἀδεῶς ἐπόρθουν.
going-over the country and the cities fearlessly ravaged

30.15 γενόμενοι δὲ τῆς προσαγορευομένης πόλεως Τύνητος
having-become and of-the called city Tunis
ἐγκρατεῖς, εὐφυοῦς ὑπαρχούσης πρὸς τὰς προκειμένας
masters well-suited being for the intended
ἐπιβολάς, ἔτι δὲ κειμένης εὐκαίρως κατά τε τῆς πόλεως
designs further and lying conveniently against both the city
καὶ τῆς σύνεγγυς ταύτῃ χώρας, κατεστρατοπέδευσαν εἰς
and the near to-it country they-encamped at
αὐτήν.
it

οἱ δὲ Καρχηδόνιοι μικρῷ μὲν πρότερον κατὰ θάλατταν, 31.1
the and Carthaginians a-little indeed before by sea
τότε δὲ κατὰ γῆν ἐπταικότες, οὐ διὰ τὴν τῶν πολλῶν
then and by land having-failed not because-of the of-the many
ἀνανδρίαν, ἀλλὰ διὰ τὴν τῶν ἡγουμένων ἀβουλίαν,
cowardice but because-of the of-the commanders ill-counsel
κατὰ πάντα τρόπον ἐνεπεπτώκεισαν εἰς δυσχερῆ διάθεσιν.
in every way had-fallen into a-difficult condition
ἅμα γὰρ τοῖς προειρημένοις καὶ τὸ τῶν Νομάδων 31.2
at-the-same-time for with-the aforesaid also the of-the Numidians
ἔθνος συνεπιτιθέμενον αὐτοῖς οὐκ ἐλάττω, πλείω δὲ τῶν
nation attacking-together them not less more but than-the
Ῥωμαίων εἰργάζετο κακὰ τὴν χώραν.
Romans was-doing evils the country
ἐξ ὧν διὰ τὸν φόβον συμφευγόντων εἰς τὴν πόλιν 31.3
from which because-of the fear fleeing-together into the city
τῶν ἀπὸ τῆς χώρας δυσθυμία καὶ λιμὸς ἦν ὁλοσχερής,
those from the country despondency and famine was complete
τὰ μὲν διὰ τὸ πλῆθος, τὰ δὲ διὰ τὴν προσδοκίαν
partly indeed because-of the number partly and because-of the expectation
τῆς πολιορκίας.
of-the siege
ὁ δὲ Μάρκος ὁρῶν τοὺς Καρχηδονίους καὶ κατὰ γῆν 31.4
— and Marcus seeing the Carthaginians both by land
καὶ κατὰ θάλατταν ἐσφαλμένους καὶ νομίζων ὅσον οὔπω
and by sea having-failed and thinking all but
κρατήσειν τῆς πόλεως, ἀγωνιῶν δὲ μὴ συμβῇ τὸν
to-be-going-to-master the city anxious but lest it-happen the
ἐπιπαραγινόμενον στρατηγὸν ἐκ τῆς Ῥώμης φθάσαντα
arriving-after consul from — Rome having-anticipated

τὴν ἐπιγραφὴν τῶν πραγμάτων λαβεῖν, προυκαλεῖτο τοὺς
the credit of-the affairs to-take invited the
Καρχηδονίους εἰς διαλύσεις.
Carthaginians to terms

31.5 οἱ δ' ἀσμένως ἀκούσαντες ἐξέπεμψαν αὐτῶν τοὺς
they and gladly having-heard sent-out of-themselves the
πρώτους ἄνδρας· οἳ καὶ συμμίξαντες αὐτῷ τοσοῦτον
first men who also having-met him so-far
ἀπέσχον τοῦ ῥέπειν ταῖς γνώμαις ἐπὶ τὸ ποιεῖν τι
were-from the to-incline in-the minds toward the to-do any
τῶν λεγομένων ὥστ' οὐδ' ἀκούοντες ὑπομένειν
of-the(-things) said that not-even hearing to-endure
ἐδύναντο τὸ βάρος τῶν ἐπιταγμάτων.
they-were-able the weight of-the demands

31.6 ὁ μὲν γὰρ Μάρκος ὡς ἤδη κεκρατηκὼς τῶν ὅλων, ὅ
— indeed for Marcus as already having-mastered the whole what
τι ποτὲ συνεχώρει, πᾶν ᾤετο δεῖν αὐτοὺς ἐν
ever at-any-time he-conceded all he-thought it-was-needful them as
χάριτι καὶ δωρεᾷ λαμβάνειν·
a-favor and gift to-take

31.7 οἱ δὲ Καρχηδόνιοι θεωροῦντες ὅτι καὶ γενομένοις αὐτοῖς
the and Carthaginians seeing that even having-become for-them
ὑποχειρίοις οὐδὲν ἂν συνεξακολουθήσαι βαρύτερον τῶν
subject nothing — would-follow heavier than-the
τότε προσταγμάτων, οὐ μόνον δυσαρεστήσαντες τοῖς
then commands not only displeased with-the(-things)
προτεινομένοις ἐπανῆλθον, ἀλλὰ καὶ προσκόψαντες τῇ
proposed returned but also having-taken-offense at-the
βαρύτητι τοῦ Μάρκου.
harshness — of-Marcus

τὸ δὲ συνέδριον τῶν Καρχηδονίων διακοῦσαν τὰ 31.8
the and council of-the Carthaginians having-heard-out the-things
προτεινόμενα παρὰ τοῦ στρατηγοῦ τῶν Ῥωμαίων, καίπερ
proposed by the consul of-the Romans although
σχεδὸν ἀπεγνωκὸς τὰς τῆς σωτηρίας ἐλπίδας, ὅμως οὕτως
nearly having-despaired-of the of-the safety hopes nevertheless so
ἀνδρωδῶς ἔστη καὶ γενναίως ὥστε πᾶν ὑπομένειν εἵλετο
manfully stood and nobly that everything to-endure it-chose
καὶ παντὸς ἔργου καὶ καιροῦ πεῖραν λαμβάνειν ἐφ᾽ ᾧ
and of-every action and occasion trial to-take on condition
μηδὲν ἀγεννὲς μηδ᾽ ἀνάξιον τῶν πρὸ τοῦ πράξεων ὑπομεῖναι.
nothing ignoble nor unworthy of-the before the deeds to-endure

I.32–38 · XANTHIPPUS AND THE FALL OF MARCUS

A Spartan, Xanthippus, arriving with mercenaries recruited in Greece, shows the Carthaginians that their own generals' inexperience, not the Romans, has beaten them. Given command, he fights on level ground with elephants and cavalry, crushes Marcus' army, and takes Marcus captive; Polybius draws the lesson of fortune's reversal and of one man's judgment, best learned from others' misfortunes by reading history. Xanthippus soon sails home, wary of the envy a foreigner meets. The Roman fleet sent for the survivors at Aspis wins at sea but is wrecked off Camarina, against the pilots' advice, and Polybius faults Rome's reliance on force at sea. Carthage sends Hasdrubal to Sicily with elephants; the Romans rebuild and take Panormus.

περὶ δὲ τοὺς καιροὺς τούτους καταπλεῖ τις εἰς τὴν 32.1
about and the times these sails-in someone to —
Καρχηδόνα ξενολόγος τῶν ἀπεσταλμένων εἰς τὴν
Carthage a-recruiting-officer of-those sent to —
Ἑλλάδα πρότερον, ἄγων στρατιώτας πλείστους, ἐν
Greece earlier bringing soldiers very-many among

οἷς καὶ Ξάνθιππόν τινα Λακεδαιμόνιον, ἄνδρα τῆς
whom also Xanthippus a-certain Lacedaemonian man of-the
Λακωνικῆς ἀγωγῆς μετεσχηκότα καὶ τριβὴν ἐν τοῖς
Laconian training having-shared and practice in the
πολεμικοῖς ἔχοντα σύμμετρον.
military-things having fitting

32.2 ὃς διακούσας τὸ γεγονὸς ἐλάττωμα καὶ πῶς καὶ
who having-heard-out the having-happened defeat and how and
τίνι τρόπῳ γέγονεν, καὶ συνθεωρήσας τάς τε λοιπὰς
in-what way it-had-happened and having-observed the both remaining
παρασκευὰς τῶν Καρχηδονίων καὶ τὸ πλῆθος τῶν ἱππέων
preparations of-the Carthaginians and the number of-the horsemen
καὶ τῶν ἐλεφάντων παραυτίκα συνελογίσατο καὶ πρὸς
and of-the elephants at-once reckoned and to
τοὺς φίλους ἐνεφάνισε διότι συμβαίνει τοὺς Καρχηδονίους
the friends made-plain that it-happens the Carthaginians
οὐχ ὑπὸ Ῥωμαίων, αὐτοὺς δ' ὑφ' αὑτῶν ἡττᾶσθαι διὰ
not by Romans themselves but by themselves to-be-defeated because-of
τὴν ἀπειρίαν τῶν ἡγουμένων.
the inexperience of-the commanders

32.3 ταχὺ δὲ διὰ τὴν περίστασιν τῶν τοῦ Ξανθίππου λόγων
quickly and because-of the crisis the — of-Xanthippus words
διαδοθέντων εἰς τὰ πλήθη καὶ τοὺς στρατηγούς, ἔγνωσαν
having-been-spread to the masses and the generals resolved
οἱ προεστῶτες ἀνακαλεῖσθαι καὶ πεῖραν αὐτοῦ λαμβάνειν.
those presiding to-call-up and trial of-him to-take

32.4 ὁ δὲ παραγενόμενος εἰς τὰς χεῖρας ἔφερε τοῖς ἄρχουσι
he and having-come into the hands brought the magistrates
τοὺς ἀπολογισμοὺς καὶ παρὰ τί νῦν σφαλείησαν, καὶ
the reasonings and by what now they-had-failed and
διότι πεισθέντες αὐτῷ καὶ χρησάμενοι τοῖς ἐπιπέδοις
that having-obeyed him and having-used the level

τῶν τόπων ἔν τε ταῖς πορείαις καὶ στρατοπεδείαις
of-the places in both the marches and encampments
καὶ παρατάξεσιν εὐχερῶς ἑαυτοῖς τε τὴν ἀσφάλειαν
and battle-lines easily for-themselves both the safety
δυνήσονται παρασκευάζειν καὶ τοὺς ὑπεναντίους νικᾶν.
they-will-be-able to-secure and the opponents to-conquer
οἱ δὲ στρατηγοὶ δεξάμενοι τὰ λεγόμενα καὶ 32.5
the and generals having-received the-things said and
πεισθέντες αὐτῷ παραχρῆμα τὰς δυνάμεις ἐνεχείρισαν.
having-been-persuaded by-him immediately the forces put-in-his-hands
ἦν μὲν οὖν καὶ κατὰ ταύτην τὴν παρὰ τοῦ Ξανθίππου 32.6
was indeed therefore also on this the from — Xanthippus
διαδιδομένην φωνὴν ὁ θροῦς καὶ λαλιά τις εὔελπις παρὰ
being-spread report the murmur and talk some hopeful among
τοῖς πολλοῖς·
the many
ὡς δ' ἐξαγαγὼν πρὸ τῆς πόλεως τὴν δύναμιν ἐν κόσμῳ 32.7
when and having-led-out before the city the force in good-order
παρενέβαλε καί τι καὶ κινεῖν τῶν μερῶν ἐν τάξει
he-drew-it-up and something also to-move of-the parts in order
καὶ παραγγέλλειν κατὰ νόμους ἤρξατο, τηλικαύτην
and to-give-orders according-to rules began so-great
ἐποίει διαφορὰν παρὰ τὴν τῶν πρότερον στρατηγῶν
made difference against the of-the former generals
ἀπειρίαν ὥστε μετὰ κραυγῆς ἐπισημαίνεσθαι τοὺς πολλοὺς
inexperience so-that with shouting to-applaud the many
καὶ σπεύδειν ὡς τάχιστα συμβαλεῖν τοῖς πολεμίοις,
and to-hasten as quickly-as-possible to-engage the enemy
πεπεισμένους μηδὲν ἂν παθεῖν δεινὸν ἡγουμένου Ξανθίππου.
convinced nothing — to-suffer terrible leading Xanthippus

32.8 τούτων δὲ γινομένων οἱ στρατηγοὶ συνιδόντες τοὺς ὄχλους
these-things and happening the generals having-seen the masses
ἀνατεθαρρηκότας παραδόξως ταῖς ψυχαῖς, παρακαλέσαντες
having-taken-courage unexpectedly in-the souls having-exhorted
αὐτοὺς τὰ πρέποντα τῷ καιρῷ μετ' ὀλίγας ἡμέρας
them the-things fitting the occasion after few days
ὥρμησαν ἀναλαβόντες τὴν δύναμιν.
set-out having-taken-up the force

32.9 αὕτη δ' ἦν πεζοὶ μὲν εἰς μυρίους καὶ δισχιλίους, ἱππεῖς
this and was foot indeed to ten-thousand and two-thousand horsemen
δὲ τετρακισχίλιοι, τὸ δὲ τῶν ἐλεφάντων πλῆθος ἔγγιστά
and four-thousand the and of-the elephants number very-near
που τῶν ἑκατόν.
about of-the hundred

33.1 οἱ δὲ Ῥωμαῖοι θεωροῦντες τοὺς Καρχηδονίους τάς τε
the and Romans seeing the Carthaginians the both
πορείας ποιουμένους διὰ τῶν ὁμαλῶν τόπων καὶ τὰς
marches making through the level places and the
στρατοπεδείας τιθέντας ἐν τοῖς ἐπιπέδοις τῶν χωρίων,
encampments placing in the flat of-the grounds
κατ' αὐτὸ μὲν τοῦτο ξενιζόμενοι διετρέποντο, τοῖς γε
in itself indeed this being-surprised were-disturbed in-the at-least
μὴν ὅλοις ἔσπευδον ἐγγίσαι τοῖς πολεμίοις.
indeed whole they-hastened to-approach the enemy

33.2 συνάψαντες δὲ τὴν μὲν πρώτην ἡμέραν κατεστρατοπέδευσαν
having-closed and the indeed first day they-encamped
ὡς δέκα σταδίους ἀποσχόντες τῶν ὑπεναντίων.
about ten stades being-distant from-the opponents

33.3 τῇ δὲ κατὰ πόδας οἱ μὲν προεστῶτες τῶν Καρχηδονίων
on-the and at-the heels the indeed presiding of-the Carthaginians
ἐβουλεύοντο πῶς καὶ τί πρακτέον εἴη κατὰ τὸ παρόν·
deliberated how and what to-be-done might-be in the present

οἱ δὲ πολλοὶ προθύμως ἔχοντες πρὸς τὸν κίνδυνον, 33.4
the but many eagerly being toward the danger
συστρεφόμενοι κατὰ μέρη καὶ κατ᾽ ὄνομα τὸν Ξάνθιππον
gathering by parts and by name — Xanthippus
ἀναβοῶντες ἐξάγειν σφᾶς ᾤοντο δεῖν τὴν ταχίστην.
shouting-for to-lead-out them thought to-be-needful the quickest(-way)
οἱ δὲ στρατηγοὶ τήν τε τῶν ὄχλων ὁρμὴν καὶ 33.5
the and generals the both of-the masses impulse and
προθυμίαν θεωροῦντες, ἅμα δὲ καὶ τοῦ Ξανθίππου
eagerness seeing at-the-same-time and also — Xanthippus
διαμαρτυρομένου μὴ παριέναι τὸν καιρόν, παρήγγειλαν τῷ
protesting not to-let-pass the opportunity ordered the
μὲν πλήθει διασκευάζεσθαι, τῷ δὲ Ξανθίππῳ χρῆσθαι τοῖς
indeed multitude to-get-ready — and to-Xanthippus to-handle the
πράγμασιν ἐπέτρεψαν ὥς ποτ᾽ αὐτῷ δοκεῖ συμφέρειν.
affairs they-entrusted as ever to-him seems to-be-advantageous
ὁ δὲ λαβὼν τὴν ἐξουσίαν, τοὺς μὲν ἐλέφαντας ἐξαγαγὼν 33.6
he and having-taken the authority the indeed elephants having-led-out
ἐφ᾽ ἕνα πρὸ πάσης τῆς δυνάμεως ἐν μετώπῳ κατέστησε,
in one-line before all the force in front placed
τὴν δὲ φάλαγγα τῶν Καρχηδονίων ἐν ἀποστήματι
the and phalanx of-the Carthaginians at a-distance
συμμέτρῳ τούτοις κατόπιν ἐπέστησε.
proportionate these behind he-stationed
τῶν δὲ μισθοφόρων τοὺς μὲν ἐπὶ τὸ δεξιὸν κέρας 33.7
of-the and mercenaries some indeed on the right wing
παρενέβαλεν, τοὺς δ᾽ εὐκινητοτάτους ὁμοῦ τοῖς ἱππεῦσιν
he-placed the and most-mobile together-with the horsemen
ἑκατέρου τοῦ κέρατος προέστησεν.
of-each the wing he-placed-in-front

33.8 οἱ δὲ Ῥωμαῖοι συνιδόντες παραταττομένους τοὺς
the and Romans having-seen drawing-up the
ὑπεναντίους ἀντεξῄεσαν ἑτοίμως.
opponents went-out-against-(them) readily

33.9 καταπληττόμενοι δὲ καὶ προορώμενοι τὴν τῶν ἐλεφάντων
being-terrified and and foreseeing the of-the elephants
ἔφοδον, προθέμενοι τοὺς γροσφομάχους πολλὰς ἐπ᾽
charge having-placed-in-front the light-armed many on
ἀλλήλαις κατόπιν ἵστασαν σημείας, τοὺς δ᾽ ἱππεῖς
one-another behind they-set maniples the and horsemen
ἐμέρισαν ἐφ᾽ ἑκάτερον τὸ κέρας.
they-divided on each the wing

33.10 τὴν δὲ σύμπασαν τάξιν βραχυτέραν μὲν ἢ πρόσθεν,
the and whole formation shorter indeed than before
βαθυτέραν δὲ ποιήσαντες τῆς μὲν πρὸς τὰ θηρία μάχης
deeper and having-made for-the indeed against the beasts battle
δεόντως ἦσαν ἐστοχασμένοι, τῆς δὲ πρὸς τοὺς ἱππεῖς,
duly they-were having-aimed for-the but against the horsemen
πολλαπλασίους ὄντας τῶν παρ᾽ αὐτοῖς, ὁλοσχερῶς
many-times-more being than-those with them utterly
ἠστόχησαν.
they-missed

33.11 ἐπεὶ δ᾽ ἀμφότεροι κατὰ τὰς ἑαυτῶν προαιρέσεις
when and both according-to the their-own purposes
καὶ καθόλου καὶ κατὰ μέρος ἑκάστους ἔθηκαν εἰς τὰς
and generally and in part each had-placed into the
ἁρμοζούσας τάξεις, ἔμενον ἐν κόσμῳ, καραδοκοῦντες
fitting ranks they-remained in good-order awaiting
τὸν καιρὸν τῆς ἀλλήλων ἐπιθέσεως.
the moment of-the of-one-another attack

ἅμα δὲ τῷ τὸν Ξάνθιππον τοῖς μὲν ἐπὶ τῶν 34.1
at-the-same-time and with-the — Xanthippus to-those indeed on the
θηρίων παραγγεῖλαι προάγειν καὶ διασπᾶν τὰς τῶν
beasts to-order to-advance and to-break-up the of-the
ὑπεναντίων τάξεις, τοῖς δ' ἱππεῦσιν ἐφ' ἑκατέρου τοῦ
opponents ranks to-the and horsemen on each the
κέρατος κυκλοῦν καὶ προσβάλλειν τοῖς πολεμίοις,
wing to-encircle and to-attack the enemy
τότε δὴ καὶ τὸ τῶν Ῥωμαίων στρατόπεδον κατὰ 34.2
then indeed also the of-the Romans army according-to
τὰ παρ' αὐτοῖς ἔθη συνεψόφησαν τοῖς ὅπλοις καὶ
the among them customs clashed with-the arms and
συναλαλάξαντες ὥρμησαν ἐπὶ τοὺς πολεμίους.
having-raised-the-war-cry-together charged against the enemy
οἱ μὲν οὖν ἱππεῖς τῶν Ῥωμαίων ταχέως ἀφ' ἑκατέρων 34.3
the indeed therefore horsemen of-the Romans quickly from both
τῶν κεράτων ἔφυγον διὰ τὸ πολλαπλασίους εἶναι τοὺς
the wings fled because-of the many-times-more to-be the
Καρχηδονίους.
Carthaginians
τῶν δὲ πεζῶν οἱ ταχθέντες ἐπὶ τοῦ λαιοῦ κέρως, ἅμα 34.4
of-the and foot those posted on the left wing at-the-same-time
μὲν ἐκκλίνοντες τὴν τῶν θηρίων ἔφοδον, ἅμα δὲ
indeed avoiding the of-the beasts charge at-the-same-time and
καταφρονοῦντες τῶν μισθοφόρων ὥρμησαν ἐπὶ τὸ δεξιὸν
despising the mercenaries set-out against the right
κέρας τῶν Καρχηδονίων· τρεψάμενοι δὲ τούτους ἐπέκειντο
wing of-the Carthaginians having-routed and these pressed-on
καὶ κατεδίωκον αὐτοὺς ἕως εἰς τὸν χάρακα.
and pursued them as-far into the palisade

34.5 τῶν δὲ κατὰ τοὺς ἐλέφαντας ταχθέντων οἱ μὲν
of-those and over-against the elephants posted the indeed
πρῶτοι συμπεσόντες ὑπὸ τῆς βίας τῶν ζῴων ἐξωθούμενοι
first having-fallen-in by the force of-the animals being-thrust-out
καὶ καταπατούμενοι σωρηδὸν ἐν χειρῶν νόμῳ διεφθείροντο,
and being-trampled in-heaps in of-hands law were-destroyed
τῆς γε μὴν ὅλης τάξεως τὸ σύστημα διὰ τὸ βάθος
of-the at-least indeed whole formation the body because-of the depth
τῶν ἐφεστώτων ἕως τινὸς ἀδιάσπαστον ἔμεινεν.
of-those standing-behind up-to some-point unbroken remained

34.6 ἐπεὶ δ' οἱ μὲν τὰς ἐσχάτας ἔχοντες τάξεις κυκλούμενοι
when but the-ones indeed the last holding ranks being-encircled
πανταχόθεν ὑπὸ τῶν ἱππέων ἠναγκάζοντο πρὸς τούτους
from-all-sides by the horsemen were-compelled against these
στρεφόμενοι κινδυνεύειν, οἱ δὲ διὰ μέσων τῶν
turning to-fight the-others and through the-middle of-the
ἐλεφάντων εἰς τὸ πρόσθεν ἐκβιαζόμενοι καὶ κατὰ νώτου
elephants to the front forcing-their-way and in rear
παριστάμενοι τῶν θηρίων εἰς ἀκέραιον καὶ συντεταγμένην
standing of-the beasts into a-fresh and in-good-order
ἐμπίπτοντες τὴν τῶν Καρχηδονίων φάλαγγα διεφθείροντο,
falling-on the of-the Carthaginians phalanx were-destroyed

34.7 τότε δὴ πανταχόθεν πονοῦντες οἱ μὲν πλεῖστοι τῶν
then indeed from-all-sides suffering the indeed most of-the
Ῥωμαίων συνεπατήθησαν ὑπὸ τῆς ὑπερφυοῦς βίας τῶν
Romans were-trampled by the extraordinary force of-the
ζῴων, οἱ δὲ λοιποὶ συνηκοντίσθησαν ὑπὸ τοῦ πλήθους
animals the and rest were-shot-down by the number
τῶν ἱππέων ἐν αὐτῷ τῷ τῆς παρατάξεως τόπῳ, τελέως
of-the horsemen in the-very — of-the battle-line place completely
δέ τινες ὀλίγοι πρὸς φυγὴν ὥρμησαν.
and some few to flight set-out

οὐσῶν δὲ πεδινῶν τῶν ὑποχωρήσεων, καὶ τούτων οἱ μὲν 34.8
being and level the retreats also of-these some indeed
ὑπὸ τῶν θηρίων καὶ τῶν ἱππέων ἀπώλλυντο, πεντακόσιοι δ'
by the beasts and the horsemen perished five-hundred and
ἴσως οἱ μετὰ Μάρκου τοῦ στρατηγοῦ φυγόντες μετ' ὀλίγον
perhaps those with Marcus the consul having-fled after a-little
ὑποχείριοι γενόμενοι σὺν αὐτῷ 'κείνῳ πάντες ἐζωγρήθησαν.
subject having-become with himself that-one all were-taken-alive
τῶν μὲν οὖν παρὰ τοῖς Καρχηδονίοις μισθοφόρων 34.9
of-the indeed therefore with the Carthaginians mercenaries
ἔπεσον εἰς ὀκτακοσίους οἱ κατὰ τὸ λαιὸν τῶν
fell about eight-hundred those over-against the left of-the
Ῥωμαίων ταχθέντες, τῶν δὲ Ῥωμαίων ἐσώθησαν μὲν
Romans posted of-the and Romans were-saved indeed
εἰς δισχιλίους οἱ κατὰ τὸ δίωγμα τῶν προειρημένων
about two-thousand those in the pursuit of-the aforesaid
ἐκτὸς γενόμενοι τοῦ κινδύνου,
out having-become of-the danger
τὸ δὲ λοιπὸν πλῆθος διεφθάρη πλὴν Μάρκου τοῦ 34.10
the and remaining number was-destroyed except Marcus the
στρατηγοῦ καὶ τῶν ἅμα τούτῳ φυγόντων.
consul and those with him having-fled
αἱ μὲν οὖν σημεῖαι τῶν Ῥωμαίων αἱ σωθεῖσαι διέπεσον 34.11
the indeed therefore maniples of-the Romans the saved slipped-through
εἰς τὴν Ἀσπίδα παραδόξως·
to — Aspis surprisingly
οἱ δὲ Καρχηδόνιοι τοὺς νεκροὺς σκυλεύσαντες καὶ τὸν 34.12
the and Carthaginians the dead having-stripped and the
στρατηγὸν ἅμα μετὰ τῶν αἰχμαλώτων ἄγοντες ἐπανῆλθον
consul together with the captives leading returned
περιχαρεῖς τοῖς παροῦσιν εἰς τὴν πόλιν.
overjoyed at-the present-things to the city

35.1 ἐν ᾧ καιρῷ πολλά τις ἂν ὀρθῶς ἐπισημαινόμενος
at which time many-things anyone — rightly noting
εὕροι πρὸς ἐπανόρθωσιν τοῦ τῶν ἀνθρώπων βίου
could-find for correction of-the of-the men life
συντελεσθέντα.
accomplished

35.2 καὶ γὰρ τὸ διαπιστεῖν τῇ τύχῃ, καὶ μάλιστα κατὰ τὰς
and for the to-distrust the fortune and most in the
εὐπραγίας, ἐναργέστατον ἐφάνη πᾶσιν τότε διὰ τῶν
prosperities most-evident appeared to-all then through the
Μάρκου συμπτωμάτων·
of-Marcus misfortunes

35.3 ὁ γὰρ μικρῷ πρότερον οὐ διδοὺς ἔλεον οὐδὲ συγγνώμην
he for a-little before not granting pity nor pardon
τοῖς πταίουσιν παρὰ πόδας αὐτὸς ἤγετο δεησόμενος
to-those failing at once himself was-led to-be-going-to-beg
τούτων περὶ τῆς ἑαυτοῦ σωτηρίας.
of-these about the his-own safety

35.4 καὶ μὴν τὸ παρ᾽ Εὐριπίδῃ πάλαι καλῶς εἰρῆσθαι
and truly the-thing in Euripides long-ago well to-have-been-said
δοκοῦν ὡς ἓν σοφὸν βούλευμα τὰς πολλὰς χεῖρας νικᾷ
seeming that one wise counsel the many hands conquers
τότε δι᾽ αὐτῶν τῶν ἔργων ἔλαβε τὴν πίστιν.
then through the-very — deeds received the confirmation

35.5 εἷς γὰρ ἄνθρωπος καὶ μία γνώμη τὰ μὲν ἀήττητα πλήθη
one for man and one judgment the indeed unconquered masses
καὶ πραγματικὰ δοκοῦντ᾽ εἶναι καθεῖλεν, τὸ δὲ προφανῶς
and effective seeming to-be pulled-down the and evidently
πεπτωκὸς ἄρδην πολίτευμα καὶ τὰς ἀπηλγηκυίας ψυχὰς
fallen utterly polity and the despairing souls
τῶν δυνάμεων ἐπὶ τὸ κρεῖττον ἤγαγεν.
of-the forces to the better led

ἐγὼ δὲ τούτων ἐπεμνήσθην χάριν τῆς τῶν ἐντυγχανόντων 35.6
I and these mentioned for-the-sake of-the of-those reading
τοῖς ὑπομνήμασι διορθώσεως.
the records correction
δυεῖν γὰρ ὄντων τρόπων πᾶσιν ἀνθρώποις τῆς ἐπὶ 35.7
two for being ways for-all men of-the toward
τὸ βέλτιον μεταθέσεως, τοῦ τε διὰ τῶν ἰδίων
the better change of-the both through the own
συμπτωμάτων καὶ τοῦ διὰ τῶν ἀλλοτρίων, ἐναργέστερον
misfortunes and of-the through the others' more-clear
μὲν εἶναι συμβαίνει τὸν διὰ τῶν οἰκείων περιπετειῶν,
indeed to-be it-happens the-one through the own reversals
ἀβλαβέστερον δὲ τὸν διὰ τῶν ἀλλοτρίων.
less-harmful and the-one through the others'
διὸ τὸν μὲν οὐδέποθ' ἑκουσίως αἱρετέον, ἐπεὶ μετὰ 35.8
wherefore the(-one) indeed never willingly is-to-be-chosen since with
μεγάλων πόνων καὶ κινδύνων ποιεῖ τὴν διόρθωσιν, τὸν
great toils and dangers it-makes the correction the(-other)
δ' ἀεὶ θηρευτέον, ἐπεὶ χωρὶς βλάβης ἔστιν συνιδεῖν
and always is-to-be-hunted since without harm it-is-possible to-see
ἐν αὐτῷ τὸ βέλτιον.
in it the better
ἐξ ὧν συνιδόντι καλλίστην παιδείαν ἡγητέον 35.9
from which to-one-having-seen finest education is-to-be-considered
πρὸς ἀληθινὸν βίον τὴν ἐκ τῆς πραγματικῆς ἱστορίας
for true life the from the pragmatic history
περιγινομένην ἐμπειρίαν·
resulting experience

35.10 μόνη γὰρ αὕτη χωρὶς βλάβης ἐπὶ παντὸς καιροῦ καὶ
alone for this without harm on every occasion and
περιστάσεως κριτὰς ἀληθινοὺς ἀποτελεῖ τοῦ βελτίονος.
circumstance judges true makes of-the better
ταῦτα μὲν οὖν ἡμῖν ἐπὶ τοσοῦτον εἰρήσθω.
these-things indeed therefore by-us to so-much let-them-have-been-said

36.1 Καρχηδόνιοι δέ, κατὰ νοῦν ἁπάντων σφίσι κεχωρηκότων,
Carthaginians and according-to mind all for-them having-gone
ὑπερβολὴν χαρᾶς οὐκ ἀπέλιπον διά τε τῆς πρὸς τὸν
excess of-joy not they-left-out through both the toward the
θεὸν εὐχαριστίας καὶ διὰ τῆς μετ᾽ ἀλλήλων φιλοφροσύνης.
god thanksgiving and through the with one-another friendliness

36.2 Ξάνθιππος δὲ τηλικαύτην ἐπίδοσιν καὶ ῥοπὴν ποιήσας
Xanthippus and so-great an-increase and turn having-made
τοῖς Καρχηδονίων πράγμασιν μετ᾽ οὐ πολὺν χρόνον
to-the of-Carthaginians affairs after not long time
ἀπέπλευσεν πάλιν, φρονίμως καὶ συνετῶς βουλευσάμενος.
sailed-away again wisely and intelligently having-deliberated

36.3 αἱ γὰρ ἐπιφανεῖς καὶ παράδοξοι πράξεις βαρεῖς μὲν τοὺς
the for conspicuous and unexpected deeds heavy indeed the
φθόνους, ὀξείας δὲ τὰς διαβολὰς γεννῶσιν· ἃς οἱ μὲν
envies sharp and the slanders beget which the indeed
ἐγχώριοι διά τε τὰς συγγενείας καὶ τὸ τῶν φίλων πλῆθος
natives because-of both the kinships and the of-the friends number
οἷοί τ᾽ ἂν εἶεν ἐπὶ πολὺν χρόνον ἀναφέρειν, οἱ δὲ ξένοι
able — — would-be for long time to-bear-up the but foreigners
ταχέως ἐφ᾽ ἑκατέρων τούτων ἡττῶνται καὶ κινδυνεύουσι.
quickly in each of-these are-worsted and run-risks

λέγεται δὲ καὶ ἕτερος ὑπὲρ τῆς ἀπαλλαγῆς τῆς Ξανθίππου 36.4
is-told and also another about the departure of-the of-Xanthippus
λόγος, ὃν πειρασόμεθα διασαφεῖν οἰκειότερον λαβόντες
account which we-shall-try to-make-clear more-suitable having-taken
τοῦ παρόντος καιρόν.
than-the present occasion
Ῥωμαῖοι δέ, προσπεσόντων σφίσι παρ' ἐλπίδα τῶν ἐν 36.5
Romans and having-fallen-in on-them beyond hope the in
Λιβύῃ συμβεβηκότων, εὐθέως ἐγίνοντο πρὸς τὸ καταρτίζειν
Libya events straightway turned to the to-fit-out
τὸν στόλον καὶ τοὺς ἄνδρας ἐξαιρεῖσθαι τοὺς ἐν τῇ
the fleet and the men to-rescue those in —
Λιβύῃ διασεσωσμένους.
Libya having-survived
οἱ δὲ Καρχηδόνιοι μετὰ ταῦτα στρατοπεδεύσαντες 36.6
the and Carthaginians after these-things having-encamped
ἐπολιόρκουν τὴν Ἀσπίδα, σπουδάζοντες ἐγκρατεῖς γενέσθαι
besieged — Aspis being-eager masters to-become
τῶν ἐκ τῆς μάχης διαφυγόντων.
of-those from the battle having-escaped
διὰ δὲ τὴν γενναιότητα καὶ τόλμαν τῶν ἀνδρῶν 36.7
because-of and the nobility and daring of-the men
οὐδαμῶς ἑλεῖν δυνάμενοι τέλος ἀπέστησαν τῆς πολιορκίας.
in-no-way to-take being-able finally they-desisted-from the siege
προσπεσόντος δ' αὐτοῖς ἐξαρτύειν τὸν στόλον τοὺς 36.8
having-fallen-in and on-them to-be-equipping the fleet the
Ῥωμαίους καὶ μέλλειν αὖθις ἐπὶ τὴν Λιβύην ποιεῖσθαι
Romans and to-be-about again against — Libya to-make
τὸν πλοῦν, τὰ μὲν ἐπεσκεύαζον σκάφη, τὰ δ' ἐκ
the voyage the indeed they-repaired vessels the-others and from
καταβολῆς ἐναυπηγοῦντο.
the-foundation they-built

36.9 ταχὺ δὲ συμπληρώσαντες ναῦς διακοσίας ἀνήχθησαν καὶ
quickly and having-manned ships two-hundred they-put-to-sea and
παρεφύλαττον τὸν ἐπίπλουν τῶν ὑπεναντίων.
watched-for the attack of-the opponents

36.10 οἱ δὲ Ῥωμαῖοι τῆς θερείας ἀρχομένης καθελκύσαντες
the and Romans the summer beginning having-launched
τριακόσια καὶ πεντήκοντα σκάφη καὶ στρατηγοὺς
three-hundred and fifty vessels and consuls
ἐπιστήσαντες Μάρκον Αἰμίλιον καὶ Σερούιον Φόλουιον
having-set-over Marcus Aemilius and Servius Fulvius
ἐξαπέστελλον. οἱ δ' ἀναχθέντες ἔπλεον παρὰ τὴν
sent-out they and having-put-to-sea sailed along —
Σικελίαν ὡς ἐπὶ τῆς Λιβύης.
Sicily as toward — Libya

36.11 συμμίξαντες δὲ περὶ τὴν Ἑρμαίαν τῷ τῶν Καρχηδονίων
having-engaged and about — Hermaeum with-the of-the Carthaginians
στόλῳ, τούτους μὲν ἐξ ἐφόδου καὶ ῥᾳδίως τρεψάμενοι
fleet these indeed at the-first-onset and easily having-routed
ναῦς ἔλαβον αὐτάνδρους ἑκατὸν δεκατέτταρας·
ships they-took with-crews a-hundred fourteen

36.12 τοὺς δ' ἐν Λιβύῃ διαμείναντας νεανίσκους ἀναλαβόντες
the and in Libya having-held-out young-men having-taken-up
ἐκ τῆς Ἀσπίδος ἔπλεον αὖθις ἐπὶ τῆς Σικελίας.
from — Aspis they-sailed again toward — Sicily

37.1 διάραντες δὲ τὸν πόρον ἀσφαλῶς καὶ προσμίξαντες τῇ
having-crossed and the strait safely and having-approached the
τῶν Καμαριναίων χώρᾳ τηλικούτῳ περιέπεσον χειμῶνι
of-the Camarinaeans country into-such they-fell storm
καὶ τηλικαύταις συμφοραῖς ὥστε μηδ' ἂν εἰπεῖν ἀξίως
and so-great disasters that not-even — to-tell worthily
δύνασθαι διὰ τὴν ὑπερβολὴν τοῦ συμβάντος.
to-be-able because-of the excess of-the event

τῶν γὰρ ἑξήκοντα καὶ τεττάρων πρὸς ταῖς τριακοσίαις 37.2
of-the for sixty and four beyond the three-hundred
ναυσὶν ὀγδοήκοντα μόνον συνέβη περιλειφθῆναι σκάφη, τῶν
ships eighty only it-happened to-be-left vessels of-the
δὲ λοιπῶν τὰ μὲν ὑποβρύχια γενέσθαι, τὰ δ' ὑπὸ τῆς
and rest some indeed sunk to-become the-others and by the
ῥαχίας πρὸς ταῖς σπιλάσι καὶ τοῖς ἀκρωτηρίοις καταγνύμενα
surf against the reefs and the headlands broken
πλήρη ποιῆσαι σωμάτων τὴν παραλίαν καὶ ναυαγίων.
full to-make of-bodies the coast and of-wrecks
ταύτης δὲ μείζω περιπέτειαν ἐν ἑνὶ καιρῷ κατὰ θάλατταν 37.3
than-this and greater reversal in one time at sea
οὐδ' ἱστορῆσθαι συμβέβηκεν. ἧς τὴν αἰτίαν οὐχ
not-even to-have-been-recorded has-happened of-which the cause not
οὕτως εἰς τὴν τύχην ὡς εἰς τοὺς ἡγεμόνας ἐπανοιστέον·
so to the fortune as to the commanders is-to-be-referred
πολλὰ γὰρ τῶν κυβερνητῶν διαμαρτυραμένων μὴ πλεῖν 37.4
much for the helmsmen having-protested not to-sail
παρὰ τὴν ἔξω πλευρὰν τῆς Σικελίας τὴν πρὸς τὸ
along the outer side — of-Sicily the toward the
Λιβυκὸν πέλαγος ἐστραμμένην διὰ τὸ τραχεῖαν εἶναι
Libyan sea turned because-of the rough to-be
καὶ δυσπροσόρμιστον, ἅμα δὲ καὶ τὴν μὲν οὐδέπω
and hard-to-anchor at-the-same-time and also the-one indeed not-yet
καταλήγειν ἐπισημασίαν, τὴν δ' ἐπιφέρεσθαι· μεταξὺ
to-subside star-sign the-other and to-come-on between
γὰρ ἐποιοῦντο τὸν πλοῦν τῆς Ὠρίωνος
for they-made the voyage — of-Orion
καὶ κυνὸς ἐπιτολῆς οὐθενὶ προσσχόντες τῶν λεγομένων 37.5
and of-the-dog rising to-none paying-attention of-the-things said
ἔπλεον ἔξω πελάγιοι, σπουδάζοντές τινας τῶν ἐν
they-sailed out on-the-open-sea being-eager some of-the on

τῷ παράπλῳ πόλεις τῇ τοῦ γεγονότος εὐτυχήματος
the coasting-voyage cities by-the of-the having-happened success
φαντασίᾳ καταπληξάμενοι προσλαβέσθαι.
appearance having-terrified to-acquire

37.6 πλὴν οὗτοι μὲν μικρῶν ἐλπίδων ἕνεκα μεγάλοις
but these indeed of-small hopes for-the-sake-of great
περιτυχόντες ἀτυχήμασι τότε τὴν αὑτῶν ἀβουλίαν ἔγνωσαν.
having-met misfortunes then the their-own ill-counsel recognized

37.7 καθόλου δὲ Ῥωμαῖοι πρὸς πάντα χρώμενοι τῇ βίᾳ καὶ τὸ
generally and Romans toward all-things using the force and the-thing
προτεθὲν οἰόμενοι δεῖν κατ᾽ ἀνάγκην ἐπιτελεῖν καὶ μηδὲν
proposed thinking it-was-needful by necessity to-accomplish and nothing
ἀδύνατον εἶναι σφίσι τῶν ἅπαξ δοξάντων, ἐν πολλοῖς
impossible to-be for-them of-the-things once resolved in many
μὲν κατορθοῦσι διὰ τὴν τοιαύτην ὁρμήν, ἐν τισὶ δὲ
indeed succeed because-of the such impulse in some but
προφανῶς σφάλλονται, καὶ μάλιστ᾽ ἐν τοῖς κατὰ θάλατταν.
evidently fail and most in the at sea

37.8 ἐπὶ μὲν γὰρ τῆς γῆς πρὸς ἀνθρώπους καὶ τὰ τούτων
on indeed for the land against men and the of-these
ἔργα ποιούμενοι τὰς ἐπιβολὰς τὰ μὲν πολλὰ κατορθοῦσι
works making the attempts the indeed many they-succeed
διὰ τὸ πρὸς παραπλησίους δυνάμεις χρῆσθαι τῇ βίᾳ,
because-of the against similar forces to-use the force
ποτὲ δὲ καὶ σπανίως ἀποτυγχάνουσι·
at-times and also rarely they-fail

37.9 πρὸς δὲ τὴν θάλατταν καὶ πρὸς τὸ περιέχον ὅταν
against but the sea and against the surrounding-air whenever
παραβάλλωνται καὶ βιαιομαχῶσι, μεγάλοις ἐλαττώμασι
they-venture and fight-by-force with-great reverses
περιπίπτουσιν.
they-meet

ὃ καὶ τότε καὶ πλεονάκις αὐτοῖς ἤδη συνέβη καὶ 37.10
which also then and more-often to-them already happened and
συμβήσεται πάσχειν, ἕως ἄν ποτε διορθώσωνται τὴν
will-happen to-suffer until — ever they-correct the
τοιαύτην τόλμαν καὶ βίαν, καθ' ἣν οἴονται δεῖν
such daring and force by which they-think it-is-needful
αὑτοῖς πάντα καιρὸν εἶναι πλωτὸν καὶ πορευτόν.
for-them every season to-be navigable and passable
οἱ δὲ Καρχηδόνιοι, συνέντες τὸν γεγονότα φθόρον 38.1
the and Carthaginians having-understood the having-happened destruction
τοῦ τῶν Ῥωμαίων στόλου καὶ νομίσαντες κατὰ μὲν γῆν
of-the of-the Romans fleet and having-thought on indeed land
ἀξιόχρεως σφᾶς εἶναι διὰ τὸ προγεγονὸς εὐτύχημα,
a-match themselves to-be because-of the previous success
κατὰ δὲ θάλατταν διὰ τὴν εἰρημένην τῶν Ῥωμαίων
on and sea because-of the said of-the Romans
περιπέτειαν, ὥρμησαν προθυμότερον ἐπί τε τὰς ναυτικὰς
reversal set-out more-eagerly to both the naval
καὶ πεζικὰς παρασκευάς.
and land preparations
καὶ τὸν μὲν Ἀσδρούβαν εὐθὺς ἐξαπέστελλον εἰς τὴν 38.2
and — indeed Hasdrubal straightway they-sent-out to —
Σικελίαν, δόντες αὐτῷ τούς τε προϋπάρχοντας καὶ τοὺς
Sicily having-given to-him the both already-present and those
ἐκ τῆς Ἡρακλείας παραγεγονότας στρατιώτας, ἅμα
from — Heraclea having-arrived soldiers at-the-same-time
δὲ τούτοις ἐλέφαντας ἑκατὸν καὶ τετταράκοντα.
and with-these elephants a-hundred and forty
τοῦτον δ' ἐκπέμψαντες διακοσίας κατεσκευάζοντο ναῦς 38.3
this-man and having-sent-out two-hundred they-built ships
καὶ ἄλλα τὰ πρὸς τὸν πλοῦν ἡτοίμαζον.
and the-other the for the voyage they-prepared

38.4 ὁ δ' Ἀσδρούβας διακομισθεὶς εἰς τὸ Λιλύβαιον ἀσφαλῶς
— *and Hasdrubal having-crossed to — Lilybaeum safely*
τά τε θηρία καὶ τὰς δυνάμεις ἐγύμναζεν καὶ δῆλος ἦν
the both beasts and the forces trained and clear was
ἀντιποιησόμενος τῶν ὑπαίθρων.
to-be-going-to-contest the open-country

38.5 Ῥωμαῖοι δὲ τῶν ἐκ τῆς ναυαγίας ἀνακομισθέντων
Romans and from-those from the shipwreck brought-back
διακούσαντες τὸ κατὰ μέρος βαρέως μὲν ἤνεγκαν τὸ
having-heard-out the-things in detail heavily indeed bore the
γεγονός· οὐ βουλόμενοι δὲ καθάπαξ εἴκειν, αὖθις ἔγνωσαν
event not wishing but once-for-all to-yield again resolved
ἐκ δρυόχων εἴκοσι καὶ διακόσια ναυπηγεῖσθαι σκάφη.
from keels twenty and two-hundred to-build vessels

38.6 τούτων δὲ τὴν συντέλειαν ἐν τριμήνῳ λαβόντων, ὅπερ
these and the completion in three-months having-taken which
οὐδὲ πιστεῦσαι ῥᾴδιον, εὐθέως οἱ κατασταθέντες ἄρχοντες
not-even to-believe easy straightway the appointed magistrates
Αὖλος Ἀτίλιος καὶ Γνάιος Κορνήλιος καταρτίσαντες τὸν
Aulus Atilius and Gnaeus Cornelius having-fitted-out the
στόλον ἀνήχθησαν,
fleet put-to-sea

38.7 καὶ πλεύσαντες διὰ πορθμοῦ προσέλαβον ἐκ τῆς
and having-sailed through strait took-in-addition from —
Μεσσήνης τὰ διασωθέντα τῶν πλοίων ἐκ τῆς ναυαγίας
Messene the saved of-the ships from the shipwreck
καὶ κατάραντες εἰς Πάνορμον τῆς Σικελίας τριακοσίαις
and having-crossed to Panormus — of-Sicily with-three-hundred
ναυσίν, ἥπερ ἦν βαρυτάτη πόλις τῆς Καρχηδονίων
ships which was strongest city of-the of-Carthaginians
ἐπαρχίας, ἐνεχείρησαν αὐτὴν πολιορκεῖν.
province attempted it to-besiege

συστησάμενοι δὲ κατὰ διττοὺς τόπους ἔργα καὶ τἄλλα 38.8
having-set-up and in two places works and the-other
παρασκευασάμενοι προσήγαγον τὰς μηχανάς.
having-prepared they-brought-up the engines
ῥᾳδίως δὲ τοῦ παρὰ θάλατταν πύργου πεσόντος, καὶ 38.9
easily and the by sea tower having-fallen and
βιασαμένων ταύτῃ τῶν στρατιωτῶν, ἡ μὲν καλουμένη
having-forced-their-way there the soldiers the indeed called
Νέα πόλις ἑαλώκει κατὰ κράτος· ἡ δὲ Παλαιὰ
New city had-been-taken by force the and Old
προσαγορευομένη τούτου συμβάντος ἐκινδύνευσεν. διὸ
called this having-happened was-in-danger wherefore
καὶ ταχέως ἐνέδωκαν αὐτὴν οἱ κατοικοῦντες.
also quickly surrendered it those inhabiting
γενόμενοι δ᾽ ἐγκρατεῖς οὗτοι μὲν ἀπέπλευσαν εἰς τὴν 38.10
having-become and masters these indeed sailed-off to —
Ῥώμην, ἀπολιπόντες φυλακὴν τῆς πόλεως.
Rome having-left a-garrison of-the city

After a grounding off Libya and a storm that sinks more than 150 ships, Rome gives up the sea, and its armies in Sicily, afraid of the elephants, avoid battle on open ground. At Panormus Caecilius Metellus draws Hasdrubal's elephants against the walls, routs his army, and captures the beasts. Heartened, Rome sends the consuls with a new fleet to besiege Lilybaeum, the Carthaginian stronghold in the west of Sicily. Himilco defends it; mercenaries plot to betray it but are foiled. Hannibal runs the blockade with reinforcements, and Himilco's fire attack on the Roman siege works fails after a desperate fight.

39.1 μετὰ δὲ ταῦτα τῆς θερείας ἐπιγενομένης οἱ κατασταθέντες
after and these-things the summer having-come-on the appointed
ἄρχοντες Γνάιος Σερουίλιος καὶ Γάιος Σεμπρώνιος
magistrates Gnaeus Servilius and Gaius Sempronius
ἀνέπλευσαν παντὶ τῷ στόλῳ καὶ διάραντες εἰς τὴν
put-to-sea with-all the fleet and having-crossed to —
Σικελίαν ἀφώρμησαν ἐντεῦθεν εἰς τὴν Λιβύην.
Sicily set-off from-there to — Libya
39.2 κομιζόμενοι δὲ παρὰ τὴν χώραν ἐποιοῦντο καὶ πλείστας
being-conveyed and along the country they-made also very-many
ἀποβάσεις. ἐν αἷς οὐδὲν ἀξιόλογον πράττοντες παρεγίνοντο
landings in which nothing noteworthy doing they-arrived
πρὸς τὴν τῶν Λωτοφάγων νῆσον, ἣ καλεῖται μὲν
at the of-the Lotus-eaters island which is-called indeed
Μῆνιγξ, οὐ μακρὰν δ' ἀπέχει τῆς μικρᾶς Σύρτεως.
Meninx not far and is-distant from-the lesser Syrtis
39.3 ἐν ᾗ προσπεσόντες εἴς τινα βράχεα διὰ τὴν ἀπειρίαν,
in which having-fallen on some shoals because-of the inexperience
γενομένης ἀμπώτεως καὶ καθισάντων τῶν πλοίων εἰς
having-happened an-ebb and having-grounded the ships into
πᾶσαν ἦλθον ἀπορίαν.
all they-came perplexity

οὐ μὴν ἀλλὰ πάλιν ἀνελπίστως μετά τινα χρόνον 39.4
not however but again unexpectedly after some time
ἐπενεχθείσης τῆς θαλάττης, ἐκρίψαντες ἐκ τῶν πλοίων
having-come-in the sea having-thrown-out from the ships
πάντα τὰ βάρη μόλις ἐκούφισαν τὰς ναῦς.
all the weights with-difficulty they-lightened the ships
οὗ γενομένου φυγῇ παραπλήσιον ἐποιήσαντο τὸν 39.5
which having-happened to-a-flight like they-made the
ἀπόπλουν. ἁψάμενοι δὲ τῆς Σικελίας καὶ κάμψαντες τὸ
sailing-off having-touched and — Sicily and having-rounded —
Λιλύβαιον καθωρμίσθησαν εἰς Πάνορμον.
Lilybaeum they-anchored at Panormus
ἐντεῦθεν δὲ ποιούμενοι παραβόλως καὶ διὰ πόρου τὸν 39.6
from-there and making recklessly and through open-sea the
πλοῦν εἰς τὴν Ῥώμην πάλιν περιέπεσον χειμῶνι τηλικούτῳ
voyage to — Rome again they-fell-into a-storm so-great
τὸ μέγεθος ὥστε πλείω τῶν ἑκατὸν καὶ πεντήκοντα
the size that more than-the hundred and fifty
πλοίων ἀποβαλεῖν.
ships to-lose
οἱ δ' ἐν τῇ Ῥώμῃ τούτων συμβάντων, καίπερ ὄντες ἐν 39.7
those and in — Rome these having-happened although being in
παντὶ φιλότιμοι διαφερόντως, ὅμως τότε διὰ τὸ μέγεθος
everything ambitious exceedingly nevertheless then because-of the magnitude
καὶ τὸ πλῆθος τῶν συμπτωμάτων τοῦ μὲν ἔτι στόλον
and the number of-the misfortunes from-the indeed still a-fleet
ἀθροίζειν ἀναγκασθέντες ὑπὸ τῶν πραγμάτων ἀπέστησαν,
to-collect having-been-compelled by the affairs desisted
ἐν δὲ ταῖς πεζικαῖς δυνάμεσι τὰς ὑπολοίπους ἔχοντες 39.8
in and the land forces the remaining having
ἐλπίδας, τοὺς μὲν στρατηγοὺς ἀπέστελλον Λεύκιον
hopes the indeed consuls they-sent Lucius

Καικίλιον καὶ Γάιον Φούριον καὶ στρατόπεδα μετὰ τούτων
Caecilius and Gaius Furius and legions with these
εἰς τὴν Σικελίαν, ἑξήκοντα δὲ μόνον ἐπλήρωσαν ναῦς
to — Sicily sixty and only they-manned ships
χάριν τοῦ τὰς ἀγορὰς κομίζειν τοῖς στρατοπέδοις.
for-the-sake of-the the provisions to-carry to-the legions

39.9 ἐκ δὲ τῶν εἰρημένων περιπετειῶν συνέβη πάλιν
from and the said reversals it-happened again
ἐπικυδέστερα γενέσθαι τὰ τῶν Καρχηδονίων πράγματα.
more-glorious to-become the of-the Carthaginians affairs

39.10 τῆς μὲν γὰρ θαλάττης ἀδεῶς ἐπεκράτουν ἐκκεχωρηκότων
of-the indeed for sea fearlessly they-held-mastery having-withdrawn
τῶν Ῥωμαίων, ἐν δὲ ταῖς πεζικαῖς δυνάμεσι μεγάλας
the Romans in and the land forces great
εἶχον ἐλπίδας.
they-had hopes

39.11 καὶ τοῦτ' ἔπασχον οὐκ ἀλόγως· οἱ γὰρ Ῥωμαῖοι,
and this they-felt not unreasonably the for Romans
διαδοθείσης φήμης περὶ τῆς ἐν τῇ Λιβύῃ μάχης ὅτι
having-spread report about the in — Libya battle that
τὰ θηρία τάς τε τάξεις αὐτῶν διασπάσαι καὶ τοὺς
the beasts the both ranks their to-have-broken-up and the
πλείστους διαφθείραι τῶν ἀνδρῶν,
most to-have-destroyed of-the men

39.12 οὕτως ἦσαν κατάφοβοι τοὺς ἐλέφαντας ὡς ἐπὶ δύ'
so were frightened-of the elephants that for two
ἐνιαυτοὺς τοὺς ἑξῆς τῶν προειρημένων καιρῶν πολλάκις
years the following of-the aforesaid times often
μὲν ἐν τῇ Λιλυβαιίτιδι χώρᾳ, πολλάκις δ' ἐν τῇ
indeed in the Lilybaean country often and in the
Σελινουντίᾳ παρατατόμενοι τοῖς πολεμίοις ἐν ἓξ
Selinuntian(-territory) drawing-up against-the enemy at six

καὶ πέντε σταδίοις οὐκ ἐθάρρησαν οὐδέποτε κατάρξαι
and five stades not dared ever to-begin
τῆς μάχης οὐδ' εἰς τοὺς ὁμαλοὺς καθόλου συγκαταβῆναι
the battle nor into the level at-all to-come-down
τόπους, δεδιότες τὴν τῶν ἐλεφάντων ἔφοδον.
places fearing the of-the elephants charge
Θέρμαν δὲ μόνον καὶ Λιπάραν ἐξεπολιόρκησαν ἐν τούτοις 39.13
Thermae and only and Lipara they-took-by-siege in these
τοῖς καιροῖς, ἀντεχόμενοι τῶν ὀρεινῶν καὶ δυσδιαβάτων
the times holding-to the mountainous and hard-to-cross
τόπων.
places
διὸ καὶ θεωροῦντες οἱ Ῥωμαῖοι τὴν ἐν τοῖς πεζικοῖς 39.14
wherefore also seeing the Romans the in the land
στρατοπέδοις πτοίαν καὶ δυσελπιστίαν αὖθις ἔγνωσαν ἐκ
armies alarm and despondency again resolved from
μεταμελείας ἀντιλαμβάνεσθαι τῆς θαλάττης.
change-of-mind to-take-hold-of the sea
καὶ καταστήσαντες στρατηγοὺς Γάιον Ἀτίλιον καὶ Λεύκιον 39.15
and having-appointed consuls Gaius Atilius and Lucius
Μάλιον ναυπηγοῦνται πεντήκοντα σκάφη καὶ κατέγραφον
Manlius they-build fifty vessels and enrolled
καὶ συνήθροιζον στόλον ἐνεργῶς.
and collected a-fleet vigorously
ὁ δὲ προεστὼς τῶν Καρχηδονίων Ἀσδρούβας, ὁρῶν 40.1
the and commanding of-the Carthaginians Hasdrubal seeing
ἀποδειλιῶντας τοὺς Ῥωμαίους ἐν ταῖς προγεγενημέναις
losing-heart the Romans in the previous
παρατάξεσιν, πυθόμενος τὸν μὲν ἕνα τῶν στρατηγῶν
battles having-learned the indeed one of-the consuls
μετὰ τῆς ἡμισείας δυνάμεως εἰς τὴν Ἰταλίαν ἀπηλλάχθαι,
with the half force to — Italy to-have-departed

τὸν δὲ Καικίλιον ἐν τῷ Πανόρμῳ διατρίβειν τὸ λοιπὸν
— *and Caecilius in — Panormus to-be-staying the remaining*
μέρος ἔχοντα τῆς στρατιᾶς, βουλόμενον ἐφεδρεῦσαι τοῖς
part having of-the army wishing to-lie-in-wait-for the
τῶν συμμάχων καρποῖς ἀκμαζούσης τῆς συγκομιδῆς,
of-the allies crops being-at-its-height the harvest
40.2 ἀναλαβὼν ἐκ τοῦ Λιλυβαίου τὴν δύναμιν ὥρμησεν καὶ
having-taken-up from — Lilybaeum the force set-out and
κατεστρατοπέδευσεν πρὸς τοῖς ὅροις τῆς χώρας τῆς
encamped at the boundaries of-the country of-the
Πανορμίτιδος. ὁ δὲ Καικίλιος,
Panormitan — and Caecilius
40.3 θεωρῶν αὐτὸν κατατεθαρρηκότα, καὶ σπουδάζων ἐκκαλεῖσθαι
seeing him grown-confident and being-eager to-draw-out
τὴν ὁρμὴν αὐτοῦ, συνεῖχε τοὺς στρατιώτας ἐντὸς τῶν
the impetus of-him kept the soldiers within the
πυλῶν.
gates
40.4 οἷς ἐπαιρόμενος Ἀσδρούβας, ὡς οὐ τολμῶντος
by-which being-elated Hasdrubal as not daring
ἀντεξιέναι τοῦ Καικιλίου, θρασέως ὁρμήσας παντὶ τῷ
to-come-out-against — Caecilius boldly having-set-out with-all the
στρατεύματι κατῆρε διὰ τῶν στενῶν εἰς τὴν Πανορμῖτιν.
army came-down through the narrows into the Panormitan-country
40.5 φθείροντος δὲ τοὺς καρποὺς αὐτοῦ μέχρι τῆς πόλεως,
destroying and the crops him up-to the city
ἔμενεν ἐπὶ τῆς ὑποκειμένης γνώμης ὁ Καικίλιος, ἕως
remained on the set purpose — Caecilius until
αὐτὸν ἐξεκαλέσατο διαβῆναι τὸν πρὸ τῆς πόλεως ποταμόν.
him he-drew-out to-cross the before the city river

ἐπεὶ δὲ τὰ θηρία διεβίβασαν οἱ Καρχηδόνιοι καὶ τὴν δύναμιν, 40.6
when and the beasts carried-across the Carthaginians and the force
τὸ τηνικαῦτα δὲ τοὺς εὐζώνους ἐξαποστέλλων ἠρέθιζε,
the at-that-time and the light-armed sending-out he-provoked
μέχρι πᾶν αὐτοὺς ἐκτάξαι τὸ στρατόπεδον ἠνάγκασε.
until all them to-draw-up the army he-compelled
συνθεασάμενος δὲ γινόμενον ὃ προέθετο, τινὰς μὲν 40.7
having-seen and happening what he-had-proposed some indeed
τῶν εὐκινήτων πρὸ τοῦ τείχους καὶ τάφρου παρενέβαλε,
of-the nimble before the wall and trench he-placed
προστάξας, ἂν ἐγγίζῃ τὰ θηρία πρὸς αὐτούς, χρῆσθαι
having-ordered if approach the beasts toward them to-use
τοῖς βέλεσιν ἀφθόνως,
the missiles unsparingly
ὅταν δ' ἐκπιέζωνται, καταφεύγειν εἰς τὴν τάφρον καὶ 40.8
when and they-are-hard-pressed to-flee into the trench and
πάλιν ἐκ ταύτης ὁρμωμένους εἰσακοντίζειν εἰς τὰ
again from this sallying to-shoot-javelins at the-ones
προσπίπτοντα τῶν ζῴων·
falling-upon-(them) of-the animals
τοῖς δ' ἐκ τῆς ἀγορᾶς βαναύσοις φέρειν προσέταξε 40.9
to-the and from the market artisans to-carry he-ordered
τὰ βέλη καὶ παραβάλλειν ἔξω παρὰ τὸν θεμέλιον τοῦ
the missiles and to-put-down outside along the foundation of-the
τείχους.
wall
αὐτὸς δὲ τὰς σημείας ἔχων ἐπὶ τῆς κατὰ τὸ λαιὸν κέρας 40.10
himself and the maniples having at the opposite the left wing
τῶν ὑπεναντίων κειμένης πύλης ἐφεστήκει, πλείους ἀεὶ
of-the opponents lying gate stood more always
καὶ πλείους ἐπαποστέλλων τοῖς ἀκροβολιζομένοις.
and more sending-in-addition to-those skirmishing

40.11 ἅμα δὲ τῷ τούτων ὁλοσχερεστέραν γενέσθαι τὴν
at-the-same-time and with-the of-these more-complete to-become the
συμπλοκὴν ἀντιφιλοδοξοῦντες οἱ τῶν ἐλεφάντων ἐπιστάται
engagement vying-for-glory the of-the elephants drivers
πρὸς τὸν Ἀσδρούβαν καὶ βουλόμενοι δι' αὑτῶν ποιῆσαι
with — Hasdrubal and wishing through themselves to-make
τὸ προτέρημα πάντες ὥρμησαν ἐπὶ τοὺς προκινδυνεύοντας·
the success all set-out against those fighting-in-front
τρεψάμενοι δὲ τούτους ῥᾳδίως συνεδίωξαν εἰς τὴν τάφρον.
having-routed and these easily they-pursued into the trench
40.12 προσπεσόντων δὲ τῶν θηρίων καὶ τιτρωσκομένων μὲν
having-fallen-on and the beasts and being-wounded indeed
ὑπὸ τῶν ἐκ τοῦ τείχους τοξευόντων, συνακοντιζομένων
by those from the wall shooting-arrows being-shot-at
δ' ἐνεργοῖς καὶ πυκνοῖς τοῖς ὑσσοῖς καὶ τοῖς γρόσφοις
and by-vigorous and dense the javelins and the light-spears
ὑπ' ἀκεραίων τῶν πρὸ τῆς τάφρου διατεταγμένων,
by fresh those before the trench drawn-up
40.13 συμβελῆ γινόμενα καὶ κατατραυματιζόμενα ταχέως
riddled-with-missiles becoming and covered-with-wounds quickly
διεταράχθη καὶ στραφέντα κατὰ τῶν ἰδίων ἐφέρετο,
were-thrown-into-confusion and having-turned against the own(-men) rushed
τοὺς μὲν ἄνδρας καταπατοῦντα καὶ διαφθείροντα, τὰς
the indeed men trampling and destroying the
δὲ τάξεις συγχέοντα καὶ κατασπῶντα τὰς αὑτῶν.
and ranks confusing and pulling-down the their-own
40.14 ἃ καὶ κατιδὼν ὁ Καικίλιος ἐξῆγε τὴν δύναμιν ἐνεργῶς·
which also having-seen — Caecilius led-out the force vigorously
καὶ συμπεσὼν ἐκ πλαγίου κατὰ κέρας τεταραγμένοις τοῖς
and having-fallen from side on flank disordered on-the
πολεμίοις ἀκεραίους ἔχων καὶ συντεταγμένους τροπὴν
enemy fresh having-(troops) and in-good-order a-rout

ἐποίει τῶν ὑπεναντίων ἰσχυρὰν καὶ πολλοὺς μὲν αὐτῶν
made of-the opponents strong and many indeed of-them
ἀπέκτεινεν, τοὺς δὲ λοιποὺς ἠνάγκασε φεύγειν προτροπάδην.
he-killed the and rest he-compelled to-flee headlong
θηρία δὲ σὺν αὐτοῖς μὲν Ἰνδοῖς ἔλαβε δέκα, τῶν 40.15
beasts and with them indeed Indians he-took ten of-the
δὲ λοιπῶν τοὺς Ἰνδοὺς ἀπερριφότων μετὰ τὴν μάχην
and rest the Indians having-thrown-off after the battle
περιελασάμενος ἐκυρίευσε πάντων.
having-rounded-up he-became-master-of all
ταῦτα δ' ἐπιτελεσάμενος ὁμολογουμένως αἴτιος ἐδόκει 40.16
these-things and having-accomplished admittedly cause he-seemed
γεγονέναι τοῖς Ῥωμαίων πράγμασι τοῦ πάλιν ἀναθαρρῆσαι
to-have-been for-the of-Romans affairs of-the again to-take-courage
τὰς πεζικὰς δυνάμεις καὶ κρατῆσαι τῶν ὑπαίθρων.
the land forces and to-master the open-country
τοῦ δὲ προτερήματος τούτου προσπεσόντος εἰς τὴν Ῥώμην, 41.1
the and success this having-fallen-in to — Rome
περιχαρεῖς ἦσαν οὐχ οὕτως ἐπὶ τῷ τοὺς πολεμίους
overjoyed they-were not so at the the enemy
ἠλαττῶσθαι τῶν θηρίων ἐστερημένους, ὡς ἐπὶ τῷ τοὺς
to-have-been-weakened of-the beasts deprived as at the the
ἰδίους τεθαρρηκέναι τῶν ἐλεφάντων κεκρατηκότας.
own to-have-taken-courage the elephants having-mastered
διὸ καὶ πάλιν ἐπερρώσθησαν διὰ ταῦτα κατὰ 41.2
wherefore also again they-were-strengthened because-of these-things according-to
τὴν ἐξ ἀρχῆς πρόθεσιν εἰς τὸ μετὰ στόλου καὶ ναυτικῆς
the from beginning purpose for the with fleet and naval
δυνάμεως τοὺς στρατηγοὺς ἐπὶ τὰς πράξεις ἐκπέμπειν,
force the consuls to the operations to-send-out
σπουδάζοντες εἰς δύναμιν πέρας ἐπιθεῖναι τῷ πολέμῳ.
being-eager to (their)-power an-end to-put to-the war

41.3 παρασκευασθέντων δὲ τῶν ἐπιτηδείων πρὸς τὴν
having-been-prepared and the necessaries for the
ἐξαποστολὴν ἔπλεον οἱ στρατηγοὶ διακοσίαις ναυσὶν
dispatch sailed the consuls with-two-hundred ships
ὡς ἐπὶ τῆς Σικελίας. ἔτος δ' ἦν τῷ πολέμῳ
as toward — Sicily year and it-was for-the war
τετταρεσκαιδέκατον.
fourteenth

41.4 καθορμισθέντες δὲ πρὸς τὸ Λιλύβαιον, ἅμα καὶ
having-anchored and at — Lilybaeum at-the-same-time also
τῶν πεζικῶν ἐκεῖ στρατοπέδων αὐτοῖς ἀπηντηκότων,
the land there legions to-them having-met
ἐνεχείρουν πολιορκεῖν, ὅτι κρατήσαντες ταύτης ῥᾳδίως
they-undertook to-besiege because having-mastered this easily
μεταβιβάσουσι τὸν πόλεμον εἰς τὴν Λιβύην.
they-will-transfer the war to — Libya

41.5 σχεδὸν δὲ περί γε τούτου τοῦ μέρους καὶ τῶν
nearly and about at-least this the matter also of-the
Καρχηδονίων οἱ προεστῶτες ὡμοδόξουν καὶ τοὺς αὐτοὺς
Carthaginians those presiding agreed and the same
εἶχον λογισμοὺς τοῖς Ῥωμαίοις.
had reckonings as-the Romans

41.6 διὸ καὶ τἄλλα πάρεργα ποιησάμενοι περὶ τὸ βοηθεῖν
wherefore also the-other secondary having-made about the to-help
ἐγίνοντο καὶ παραβάλλεσθαι καὶ πᾶν ὑπομένειν ὑπὲρ
they-turned and to-venture and everything to-endure on-behalf-of
τῆς προειρημένης πόλεως διὰ τὸ μηδεμίαν ἀφορμὴν
the aforesaid city because-of the no base
καταλείπεσθαι σφίσιν, πάσης δὲ τῆς ἄλλης Σικελίας
to-be-left to-them all and the other Sicily
ἐπικρατεῖν Ῥωμαίους πλὴν Δρεπάνων.
to-control Romans except Drepana

ἵνα δὲ μὴ τοῖς ἀγνοοῦσι τοὺς τόπους ἀσαφῆ τὰ 41.7
so-that and not to-those not-knowing the places unclear the-things
λεγόμενα γίνηται, πειρασόμεθα διὰ βραχέων ἀγαγεῖν εἰς
said may-become we-shall-try through brief-words to-bring to
ἔννοιαν τῆς εὐκαιρίας καὶ θέσεως αὐτῶν τοὺς ἐντυγχάνοντας.
notion of-the convenience and position of-them those reading
τὴν μὲν οὖν σύμπασαν Σικελίαν τῇ θέσει τετάχθαι 42.1
the indeed therefore whole Sicily in-the position to-be-placed
συμβαίνει πρὸς τὴν Ἰταλίαν καὶ τἀκείνης πέρατα
it-happens toward — Italy and of-that ends
παραπλησίως τῇ τῆς Πελοποννήσου θέσει πρὸς τὴν
similarly to-the of-the Peloponnese position toward the
λοιπὴν Ἑλλάδα καὶ τὰ ταύτης ἄκρα,
rest Greece and the of-this headlands
τούτῳ δ᾽ αὐτῷ διαφέρειν ἀλλήλων, ᾗ ᾽κείνη μὲν 42.2
in-this and itself to-differ from-one-another in-that that indeed
χερρόνησός ἐστιν, αὕτη δὲ νῆσος· ἧς μὲν γὰρ ὁ
a-peninsula is this but an-island of-the-one indeed for the
μεταξὺ τόπος ἐστὶ πορευτός, ἧς δὲ πλωτός.
between place is passable of-the-other and navigable
τὸ δὲ σχῆμα τῆς Σικελίας ἐστὶ μὲν τρίγωνον, αἱ δὲ 42.3
the and shape — of-Sicily is indeed triangular the and
κορυφαὶ τῶν γωνιῶν ἑκάστης ἀκρωτηρίων λαμβάνουσι
tips of-the angles of-each of-headlands take
τάξεις,
positions
ὧν τὸ μὲν πρὸς μεσημβρίαν νεῦον, εἰς δὲ τὸ Σικελικὸν 42.4
of-which the indeed toward south inclining into and the Sicilian
πέλαγος ἀνατεῖνον Πάχυνος καλεῖται,
sea stretching Pachynus is-called

42.5 τὸ δ' εἰς τὰς ἄρκτους κεκλιμένον ὁρίζει μὲν τοῦ
the and toward the north sloping bounds indeed of-the
πορθμοῦ τὸ πρὸς δύσεις μέρος, ἀπέχει δὲ τῆς Ἰταλίας
strait the toward west part is-distant and — from-Italy
ὡς δεκαδύο στάδια, προσαγορεύεται δὲ Πελωριάς.
about twelve stades is-called and Pelorias

42.6 τὸ δὲ τρίτον τέτραπται μὲν εἰς αὐτὴν τὴν Λιβύην,
the and third is-turned indeed toward the-very — Libya
ἐπίκειται δὲ τοῖς προκειμένοις τῆς Καρχηδόνος
lies-over-against and the projecting — of-Carthage
ἀκρωτηρίοις εὐκαίρως, διέχον ὡς χιλίους σταδίους,
headlands conveniently being-distant about a-thousand stades
νεύει δ' εἰς χειμερινὰς δύσεις, διαιρεῖ δὲ τὸ Λιβυκὸν
inclines and toward winter west divides and the Libyan
καὶ τὸ Σαρδῷον πέλαγος, προσαγορεύεται δὲ Λιλύβαιον.
and the Sardinian sea is-called and Lilybaeum

42.7 ἐπὶ δὲ τούτῳ πόλις ὁμώνυμος κεῖται τῷ τόπῳ, περὶ ἣν
on and this a-city of-the-same-name lies with-the place about which
τότε συνέβαινε τοὺς Ῥωμαίους συνίστασθαι τὴν πολιορκίαν,
then it-happened the Romans to-set-up the siege
τείχεσί τε διαφερόντως ἠσφαλισμένην καὶ πέριξ τάφρῳ
with-walls both exceptionally secured and round-about with-a-trench
βαθείᾳ καὶ τενάγεσιν ἐκ θαλάττης, δι' ὧν ἐστιν εἰς τοὺς
deep and with-lagoons from the-sea through which is into the
λιμένας εἴσπλους πολλῆς δεόμενος ἐμπειρίας καὶ συνηθείας.
harbors an-entrance much needing experience and practice

42.8 ταύτῃ δὲ προσστρατοπεδεύσαντες ἐξ ἑκατέρου μέρους οἱ
this and having-encamped-against on each side the
Ῥωμαῖοι καὶ τὰ μεταξὺ τῶν στρατοπέδων τάφρῳ καὶ
Romans and the-space between the camps with-trench and
χάρακι καὶ τείχει διαλαβόντες ἤρξαντο προσάγειν ἔργα
palisade and wall having-enclosed began to-bring-up works

κατὰ τὸν ἔγγιστα κείμενον τῆς θαλάττης πύργον ὡς
against the nearest lying to-the sea tower as
πρὸς τὸ Λιβυκὸν πέλαγος.
toward the Libyan sea
προσκατασκευάζοντες δ' ἀεὶ τοῖς ὑποκειμένοις καὶ 42.9
building-on and always to-the existing-works and
παρεκτείνοντες τῶν ἔργων τὰς κατασκευὰς τέλος ἓξ
extending of-the works the constructions finally six
πύργους τοὺς συνεχεῖς τῷ προειρημένῳ κατέβαλον, τοὺς
towers those adjoining to-the aforesaid they-threw-down the
δὲ λοιποὺς πάντας ἅμα κριοκοπεῖν ἐνεχείρησαν.
and rest all at-once to-batter they-undertook
γινομένης δ' ἐνεργοῦ καὶ καταπληκτικῆς τῆς πολιορκίας, 42.10
becoming and vigorous and terrifying the siege
καὶ τῶν πύργων τῶν μὲν πονούντων ἀν' ἑκάστην
and of-the towers some indeed laboring through each
ἡμέραν, τῶν δ' ἐρειπομένων, ἅμα δὲ καὶ τῶν
day others and falling-down at-the-same-time and also the
ἔργων ἐπιβαινόντων ἀεὶ καὶ μᾶλλον ἐντὸς τῆς πόλεως,
works advancing always and more inside the city
ἦν ἰσχυρὰ διατροπὴ καὶ κατάπληξις παρὰ τοῖς 42.11
was strong confusion and terror among the
πολιορκουμένοις, καίπερ ὄντων ἐν τῇ πόλει χωρὶς τοῦ
besieged although being in the city apart-from the
πολιτικοῦ πλήθους αὐτῶν τῶν μισθοφόρων εἰς μυρίους.
civic multitude the-very — mercenaries about ten-thousand
οὐ μὴν ἀλλ' ὅ γε στρατηγὸς αὐτῶν Ἱμίλκων οὐδὲν 42.12
not however but the at-least general their Himilco nothing
παρέλειπε τῶν δυνατῶν, ἀλλὰ τὰ μὲν ἀντοικοδομῶν,
left-out of-the possible-things but partly indeed building-counter-walls

τὰ δ' ἀντιμεταλλεύων οὐ τὴν τυχοῦσαν ἀπορίαν παρεῖχε
partly and counter-mining not the chance perplexity caused
τοῖς ὑπεναντίοις.
to-the opponents

42.13 ἔτι δὲ καθ' ἑκάστην ἡμέραν ἐπιπορευόμενος καὶ τοῖς
further and on each day attacking and the
ἔργοις ἐγχειρῶν, εἴ πως δύναιτο πῦρ ἐμβαλεῖν,
works trying whether somehow he-might-be-able fire to-throw-in
πολλοὺς ὑπὲρ τούτου τοῦ μέρους καὶ παραβόλους ἀγῶνας
many about this the matter and daring contests
δὴ συνίστατο καὶ μεθ' ἡμέραν καὶ νύκτωρ, ὥστε πλείους
indeed he-set-up both by day and by-night so-that more
ἐνίοτε γίνεσθαι νεκροὺς ἐν ταῖς τοιαύταις συμπλοκαῖς
sometimes to-become dead in the such engagements
τῶν εἰωθότων πίπτειν ἐν ταῖς παρατάξεσι.
than-those accustomed to-fall in the pitched-battles

43.1 κατὰ δὲ τοὺς καιροὺς τούτους τῶν ἡγεμόνων τινὲς τῶν
at and the times these of-the commanders some of-those
τὰς μεγίστας χώρας ἐχόντων ἐν τοῖς μισθοφόροις
the greatest positions holding among the mercenaries
συλλαλήσαντες ἑαυτοῖς ὑπὲρ τοῦ τὴν πόλιν ἐνδοῦναι
having-talked-together among-themselves about the the city to-surrender
τοῖς Ῥωμαίοις καὶ πεπεισμένοι πειθαρχήσειν σφίσι τοὺς
to-the Romans and convinced to-be-going-to-obey them those
ὑποτεταγμένους, ἐξεπήδησαν νυκτὸς ἐκ τῆς πόλεως ἐπὶ
under-them leapt-out by-night from the city to
τὸ στρατόπεδον καὶ διελέγοντο τῷ τῶν Ῥωμαίων
the camp and conversed with-the of-the Romans
στρατηγῷ περὶ τούτων.
consul about these-things

ὁ δ᾽ Ἀχαιὸς Ἀλέξων ὁ καὶ τοῖς Ἀκραγαντίνοις 43.2
the and Achaean Alexon the(-one) also for-the Agrigentines
κατὰ τοὺς ἐπάνω χρόνους αἴτιος γενόμενος τῆς σωτηρίας,
in the former times cause having-become of-the safety
καθ᾽ ὃν καιρὸν ἐπεβάλοντο παρασπονδεῖν αὐτοὺς οἱ τῶν
at which time attempted to-break-faith-with them the of-the
Συρακοσίων μισθοφόροι, καὶ τότε πρῶτος συνεὶς
Syracusans mercenaries also then first having-understood
τὴν πρᾶξιν ἀνήγγειλε τῷ στρατηγῷ τῶν Καρχηδονίων.
the affair reported-(it) to-the general of-the Carthaginians
ὁ δὲ διακούσας παραχρῆμα συνῆγε τοὺς καταλειπομένους 43.3
he and having-heard-(it) at-once assembled those left
τῶν ἡγεμόνων καὶ παρεκάλει μετὰ δεήσεως, μεγάλας δωρεὰς
of-the commanders and exhorted-(them) with entreaty great gifts
καὶ χάριτας ὑπισχνούμενος, ἐὰν ἐμμείνωσι τῇ πρὸς αὐτὸν
and favors promising if they-remain in-the toward him
πίστει καὶ μὴ κοινωνήσωσι τοῖς ἐξεληλυθόσι τῆς ἐπιβολῆς.
faith and not share with-those having-gone-out in-the design
δεχομένων δὲ προθύμως τοὺς λόγους, εὐθέως μετ᾽ αὐτῶν 43.4
accepting and eagerly the words straightway with them
ἀπέστειλε πρὸς μὲν τοὺς Κελτοὺς Ἀννίβαν τὸν υἱὸν
he-sent to indeed the Celts Hannibal the son
τὸν Ἀννίβου τοῦ μεταλλάξαντος ἐν Σαρδόνι διὰ τὴν
the(-one) of-Hannibal the having-died in Sardinia because-of the
προγεγενημένην ἐν τῇ στρατείᾳ πρὸς αὐτοὺς συνήθειαν,
previous in the campaign with them familiarity
ἐπὶ δὲ τοὺς ἄλλους μισθοφόρους Ἀλέξωνα διὰ τὴν
to and the other mercenaries Alexon because-of the
παρ᾽ ἐκείνοις ἀποδοχὴν αὐτοῦ καὶ πίστιν·
among those acceptance of-him and trust

43.5 οἳ καὶ συναγαγόντες τὰ πλήθη καὶ παρακαλέσαντες, ἔτι
who also having-assembled the masses and having-exhorted-(them) further
δὲ πιστωσάμενοι τὰς προτεινομένας ἑκάστοις δωρεὰς ὑπὸ
and having-pledged the offered to-each gifts by
τοῦ στρατηγοῦ, ῥᾳδίως ἔπεισαν αὐτοὺς μένειν ἐπὶ τῶν
the general easily persuaded them to-remain on the
ὑποκειμένων.
present-terms

43.6 διὸ καὶ μετὰ ταῦτα, τῶν ἐκπηδησάντων ἐκ τοῦ
wherefore also after these-things those having-leapt-out from the
προφανοῦς ἐρχομένων πρὸς τὰ τείχη καὶ βουλομένων
open coming to the walls and wishing
παρακαλεῖν καὶ λέγειν τι περὶ τῆς τῶν Ῥωμαίων
to-exhort and to-say something about the of-the Romans
ἐπαγγελίας, οὐχ οἷον προσεῖχον αὐτοῖς, ἀλλ᾽ ἁπλῶς
promise not only-(not) they-attended to-them but simply
οὐδ᾽ ἀκούειν ἠξίουν, βάλλοντες δὲ τοῖς λίθοις καὶ
not-even to-hear deemed-it-worthy pelting and with-the stones and
συνακοντίζοντες ἀπεδίωξαν ἀπὸ τοῦ τείχους.
shooting-at-(them) drove-(them)-off from the wall

43.7 Καρχηδόνιοι μὲν οὖν διὰ τὰς προειρημένας αἰτίας παρὰ
Carthaginians indeed therefore because-of the aforesaid causes by
μικρὸν ἦλθον ἀπολέσαι τὰ πράγματα, παρασπονδηθέντες
little came to-lose the affairs having-been-betrayed
ὑπὸ τῶν μισθοφόρων·
by the mercenaries

43.8 Ἀλέξων δὲ πρότερον Ἀκραγαντίνοις ἔσωσε διὰ τὴν
Alexon and before for-Agrigentines saved because-of the
πίστιν οὐ μόνον τὴν πόλιν καὶ τὴν χώραν, ἀλλὰ καὶ
faith not only the city and the country but also

τοὺς νόμους καὶ τὴν ἐλευθερίαν, τότε δὲ Καρχηδονίοις
the laws and the freedom then and for-Carthaginians
αἴτιος ἐγένετο τοῦ μὴ σφαλῆναι τοῖς ὅλοις.
cause became of-the not to-fail in-the whole
οἱ δ' ἐν τῇ Καρχηδόνι τούτων μὲν οὐδὲν εἰδότες, 44.1
those and in — Carthage of-these indeed nothing knowing
συλλογιζόμενοι δὲ τὰς ἐν ταῖς πολιορκίαις χρείας,
reckoning but the in the sieges needs
πληρώσαντες στρατιωτῶν πεντήκοντα ναῦς καὶ
having-manned with-soldiers fifty ships and
παρακαλέσαντες τοῖς ἁρμόζουσι λόγοις τῆς πράξεως
having-exhorted with-the fitting words of-the action
τὸν ἐπὶ τούτοις τεταγμένον Ἀννίβαν, ὃς ἦν Ἀμίλκου μὲν
the over these appointed Hannibal who was of-Hamilcar indeed
υἱὸς τριήραρχος δὲ καὶ φίλος Ἀτάρβου πρῶτος, ἐξαπέστειλαν
son trierarch and also friend of-Atarbas first sent-out
κατὰ σπουδήν, ἐντειλάμενοι μὴ καταμελλῆσαι, χρησάμενον
in haste having-enjoined not to-delay having-used
δὲ σὺν καιρῷ τῇ τόλμῃ βοηθῆσαι τοῖς πολιορκουμένοις.
but with opportunity the daring to-help the besieged
ὁ δ' ἀναχθεὶς μετὰ μυρίων στρατιωτῶν καὶ 44.2
he and having-put-to-sea with ten-thousand soldiers and
καθορμισθεὶς ἐν ταῖς καλουμέναις Αἰγούσσαις, μεταξὺ δὲ
having-anchored in the called Aegusae between and
κειμέναις Λιλυβαίου καὶ Καρχηδόνος, ἐπετήρει τὸν πλοῦν.
lying Lilybaeum and Carthage watched-for the voyage
λαβὼν δ' οὔριον καὶ λαμπρὸν ἄνεμον, ἐκπετάσας πᾶσι 44.3
having-got and fair and brisk wind having-spread all
τοῖς ἀρμένοις καὶ κατουρώσας ἐπ' αὐτὸ τὸ στόμα τοῦ
the sails and running-before-the-wind to the-very — mouth of-the

λιμένος ἐποιεῖτο τὸν πλοῦν, ἔχων καθωπλισμένους καὶ πρὸς
harbor he-made the voyage having armed and for
μάχην ἑτοίμους τοὺς ἄνδρας ἐπὶ τῶν καταστρωμάτων.
battle ready the men on the decks

44.4 οἱ δὲ Ῥωμαῖοι τὰ μὲν αἰφνιδίου γενομένης τῆς
the and Romans partly indeed sudden having-happened the
ἐπιφανείας, τὰ δὲ φοβούμενοι μὴ σὺν τοῖς πολεμίοις
appearance partly and fearing lest with the enemy
ὑπὸ τῆς βίας τοῦ πνεύματος συγκατενεχθῶσιν εἰς τὸν
by the force of-the wind they-be-carried-in-together into the
λιμένα τῶν ὑπεναντίων, τὸ μὲν διακωλύειν τὸν ἐπίπλουν
harbor of-the opponents the indeed to-prevent the attack
τῆς βοηθείας ἀπέγνωσαν, ἐπὶ δὲ τῆς θαλάττης ἔστησαν
of-the relief gave-up on and the sea they-stood
of-this and on the-very indeed — summit being level
κεῖται τὸ τῆς Ἀφροδίτης τῆς Ἐρυκίνης ἱερόν, ὅπερ
lies the — of-Aphrodite the Erycine temple which
ὁμολογουμένως ἐπιφανέστατόν ἐστι τῷ τε πλούτῳ καὶ
admittedly most-illustrious is in-the both wealth and
τῇ λοιπῇ προστασίᾳ τῶν κατὰ τὴν Σικελίαν ἱερῶν·
in-the other distinction of-the in — Sicily temples
55.9 ἡ δὲ πόλις ὑπ' αὐτὴν τὴν κορυφὴν τέτακται, πάνυ
the and city under the-very — summit is-placed very
μακρὰν ἔχουσα καὶ προσάντη πανταχόθεν τὴν ἀνάβασιν.
long having and steep from-all-sides the ascent
55.10 ἐπί τε δὴ τὴν κορυφὴν ἐπιστήσας φυλακήν, ὁμοίως
on both indeed the summit having-set a-guard likewise
δὲ καὶ τὴν ἀπὸ Δρεπάνων πρόσβασιν ἐτήρει φιλοτίμως
and also the from Drepana approach he-guarded zealously
ἀμφοτέρους τοὺς τόπους καὶ μᾶλλον ἔτι τὸν τῆς
both the places and more still the of-the
ἀναβολῆς, πεπεισμένος οὕτως καὶ τὴν πόλιν ἀσφαλῶς
ascent convinced so both the city safely
καὶ τὸ σύμπαν ὄρος ὑφ' αὑτὸν ἕξειν.
and the whole mountain under himself to-be-going-to-hold
56.1 οἱ δὲ Καρχηδόνιοι μετὰ ταῦτα στρατηγὸν καταστήσαντες
the and Carthaginians after these-things general having-appointed
αὑτῶν Ἀμίλκαν τὸν Βάρκαν ἐπικαλούμενον, τούτῳ
of-themselves Hamilcar — Barca called to-this-man
τὰ κατὰ τὸν στόλον ἐνεχείρισαν·
the-things concerning the fleet entrusted
56.2 ὃς παραλαβὼν τὰς ναυτικὰς δυνάμεις ὥρμησεν πορθήσων
who having-taken-over the naval forces set-out to-be-going-to-ravage
τὴν Ἰταλίαν. ἔτος δ' ἦν ὀκτωκαιδέκατον τῷ πολέμῳ.
— Italy year and it-was eighteenth for-the war

κατασύρας δὲ τὴν Λοκρίδα καὶ τὴν Βρεττιανὴν χώραν, 56.3
having-laid-waste and the Locrian and the Bruttian country
ἀποπλέων ἐντεῦθεν κατῆρε παντὶ τῷ στόλῳ πρὸς τὴν
sailing-off from-there be-put-in with-all the fleet at the
Πανορμῖτιν καὶ καταλαμβάνει τὸν ἐπὶ τῆς Εἰρκτῆς
Panormitan-country and seizes the at — Heircte
λεγόμενον τόπον, ὃς κεῖται μὲν Ἔρυκος καὶ Πανόρμου
called place which lies indeed of-Eryx and of-Panormus
μεταξὺ πρὸς θαλάττῃ, πολὺ δέ τι τῶν ἄλλων
between at sea much and somehow than-the other
δοκεῖ διαφέρειν τόπων ἐπιτηδειότητι πρὸς ἀσφάλειαν
seems to-excel places in-suitability for safety
στρατοπέδων καὶ χρονισμόν.
of-camps and long-stay
ἔστι γὰρ ὄρος περίτομον ἐξανεστηκὸς ἐκ τῆς 56.4
is for a-mountain sheer risen from the
περικειμένης χώρας εἰς ὕψος ἱκανόν. τούτου δ' ἡ
surrounding country to height considerable of-this and the
περίμετρος τῆς ἄνω στεφάνης οὐ λείπει τῶν ἑκατὸν
perimeter of-the upper crown not falls-short of-the hundred
σταδίων, ὑφ' ἧς ὁ περιεχόμενος τόπος εὔβοτος ὑπάρχει
stades by which the enclosed place well-pastured is
καὶ γεωργήσιμος, πρὸς μὲν τὰς πελαγίους πνοιὰς εὐφυῶς
and arable to indeed the sea breezes favorably
κείμενος, θανασίμων δὲ θηρίων εἰς τέλος ἄμοιρος.
lying of-deadly and beasts to the-end free
περιέχεται δὲ κρημνοῖς ἀπροσίτοις ἔκ τε τοῦ κατὰ 56.5
is-enclosed and by-cliffs inaccessible from both the toward
θάλατταν μέρους καὶ τοῦ παρὰ τὴν μεσόγαιαν παρήκοντος,
sea side and the toward the inland extending

τὰ δὲ μεταξὺ τούτων ἐστὶν ὀλίγης καὶ βραχείας δεόμενα
the and between these is of-little and slight needing
κατασκευῆς.
construction

56.6 ἔχει δ' ἐν αὑτῷ καὶ μαστόν, ὃς ἅμα μὲν
has and in itself also a-knoll which at-the-same-time indeed
ἀκροπόλεως, ἅμα δὲ σκοπῆς εὐφυοῦς λαμβάνει
of-a-citadel at-the-same-time and of-a-lookout well-suited takes
τάξιν κατὰ τῆς ὑποκειμένης χώρας.
position over the lying-below country

56.7 κρατεῖ δὲ καὶ λιμένος εὐκαίρου πρὸς τὸν ἀπὸ Δρεπάνων
commands and also a-harbor convenient for the from Drepana
καὶ Λιλυβαίου δρόμον ἐπὶ τὴν Ἰταλίαν, ἐν ᾧ πλῆθος
and Lilybaeum course to — Italy in which quantity
ὕδατος ἄφθονον ὑπάρχει.
of-water abundant is

56.8 προσόδους δὲ τὰς πάσας ἔχει τριττὰς δυσχερεῖς, δύο μὲν
approaches and the all has three difficult two indeed
ἀπὸ τῆς χώρας, μίαν δ' ἀπὸ τῆς θαλάττης.
from the land one and from the sea

56.9 ἐν ᾧ καταστρατοπεδεύσας παραβόλως Ἀμίλκας, ὡς
in which having-encamped recklessly Hamilcar as
ἂν μήτε πόλεως οἰκείας μήτ' ἄλλης ἐλπίδος μηδεμιᾶς
— neither city own nor other hope any
ἀντεχόμενος, εἰς μέσους δὲ τοὺς πολεμίους ἑαυτὸν
holding-to into the-middle and the enemy himself
δεδωκώς, ὅμως οὐ μικροὺς οὐδὲ τοὺς τυχόντας Ῥωμαίοις
having-given nevertheless not small nor the chance for-Romans
ἀγῶνας καὶ κινδύνους παρεσκεύασεν.
contests and dangers prepared

πρῶτον μὲν γὰρ ἐντεῦθεν ὁρμώμενος κατὰ θάλατταν τὴν 56.10
first indeed for from-there setting-out by sea the
παραλίαν τῆς Ἰταλίας ἐπόρθει μέχρι τῆς Κυμαίων χώρας,
coast — of-Italy he-ravaged as-far-as the of-Cumaeans country
δεύτερον δὲ κατὰ γῆν παραστρατοπεδευσάντων αὐτῷ 56.11
second and by land having-encamped-beside him
Ῥωμαίων πρὸ τῆς Πανορμιτῶν πόλεως ἐν ἴσως πέντε
Romans before the of-Panormitans city at perhaps five
σταδίοις πολλοὺς καὶ ποικίλους ἀγῶνας συνεστήσατο κατὰ
stades many and varied contests he-set-up by
γῆν σχεδὸν ἐπὶ τρεῖς ἐνιαυτούς. περὶ ὧν οὐχ οἷόν τε
land nearly for three years about which not possible —
διὰ τῆς γραφῆς τὸν κατὰ μέρος ἀποδοῦναι λόγον·
through the writing the in detail to-render account
καθάπερ γὰρ ἐπὶ τῶν διαφερόντων πυκτῶν καὶ 57.1
just-as for in-the-case-of the excelling boxers both
ταῖς γενναιότησι καὶ ταῖς εὐεξίαις, ὅταν εἰς τὸν ὑπὲρ
in-the nobilities and in-the good-conditions when into the for
αὐτοῦ τοῦ στεφάνου συγκαταστάντες καιρὸν διαμάχωνται
the-very — crown having-come-together moment they-fight
πληγὴν ἐπὶ πληγῇ τιθέντες ἀδιαπαύστως, λόγον μὲν ἢ
blow upon blow placing unceasingly account indeed or
πρόνοιαν ἔχειν ὑπὲρ ἑκάστης ἐπιβολῆς καὶ πληγῆς οὔτε
forethought to-have about each attempt and blow neither
τοῖς ἀγωνιζομένοις οὔτε τοῖς θεωμένοις ἐστὶ δυνατόν,
for-those contending nor for-those watching is possible
ἐκ δὲ τῆς καθόλου τῶν ἀνδρῶν ἐνεργείας καὶ τῆς 57.2
from but the general of-the men energy and the
ἑκατέρου φιλοτιμίας ἔστι καὶ τῆς ἐμπειρίας αὐτῶν καὶ
of-each ambition it-is-possible both of-the experience their and

τῆς δυνάμεως, πρὸς δὲ καὶ τῆς εὐψυχίας, ἱκανὴν ἔννοιαν
of-the power besides and also of-the courage sufficient notion
λαβεῖν, οὕτως δὲ καὶ περὶ τῶν νῦν λεγομένων στρατηγῶν.
to-get so and also about the now spoken-of generals
57.3 τὰς μὲν γὰρ αἰτίας ἢ τοὺς τρόπους, δι' ὧν ἀν' ἑκάστην
the indeed for causes or the ways through which on each
ἡμέραν ἐποιοῦντο κατ' ἀλλήλων ἐνέδρας, ἀντενέδρας,
day they-made against one-another ambushes counter-ambushes
ἐπιθέσεις, προσβολάς, οὔτ' ἂν ὁ γράφων ἐξαριθμούμενος
attacks assaults neither — the writer enumerating
ἐφίκοιτο, τοῖς τ' ἀκούουσιν ἀπέραντος ἅμα δ'
could-attain-(it) to-those and listening endless at-the-same-time and
ἀνωφελὴς ἂν ἐκ τῆς ἀναγνώσεως γίνοιτο χρεία·
useless — from the reading would-become use
57.4 ἐκ δὲ τῆς καθολικῆς ἀποφάσεως περὶ αὐτῶν καὶ τοῦ
from but the general statement about them and the
τέλους τῆς φιλοτιμίας μᾶλλον ἄν τις εἰς ἔννοιαν ἔλθοι
end of-the ambition more — anyone into notion could-come
τῶν προειρημένων.
of-the aforesaid
57.5 οὔτε γὰρ τῶν ἐξ ἱστορίας στρατηγημάτων οὔτε τῶν ἐκ
neither for of-the from history stratagems nor of-the from
τοῦ καιροῦ καὶ τῆς ὑποκειμένης περιστάσεως ἐπινοημάτων
the occasion and the underlying circumstance devices
οὔτε τῶν εἰς παράβολον καὶ βίαιον ἀνηκόντων τόλμαν
nor of-those to reckless and violent pertaining daring
οὐδὲν παρελείφθη.
anything was-left-out
57.6 κρίσιν γε μὴν ὁλοσχερῆ γενέσθαι διὰ πλείους αἰτίας
a-decision at-least indeed complete to-come-about because-of more causes
οὐχ οἷόν τ' ἦν· αἵ τε γὰρ δυνάμεις ἀμφοτέρων ἦσαν
not possible — was the both for forces of-both were

ἐφάμιλλοι, τά τε κατὰ τοὺς χάρακας ὁμοίως ἀπρόσιτα
evenly-matched the both at the palisades likewise inaccessible
διὰ τὴν ὀχυρότητα, τό τε διάστημα τῶν στρατοπέδων
because-of the strength the both interval of-the camps
βραχὺ παντελῶς.
short altogether
ὅπερ αἴτιον ἦν μάλιστα τοῦ τὰς μὲν κατὰ μέρος 57.7
which cause was most of-the the indeed in part
συμπτώσεις ἀπαύστους γίνεσθαι καθ' ἡμέραν, ὁλοσχερὲς
encounters unceasing to-happen by day decisive
δὲ συντελεῖσθαι μηδέν.
and to-be-accomplished nothing
τούτους γὰρ αὐτοὺς ἀεὶ συνέβαινε διαφθείρεσθαι κατὰ τὰς 57.8
these for themselves always it-happened to-be-destroyed in the
συμπλοκάς, τοὺς ἐν χειρῶν νόμῳ περιπεσόντας· οἱ δ' ἅπαξ
engagements those in of-hands law having-fallen-in those but once
ἐγκλίναντες εὐθέως ἐκτὸς τοῦ δεινοῦ πάντες ἦσαν ὑπὸ ταῖς
having-given-way straightway out-of the danger all were under the
αὑτῶν ἀσφαλείαις καὶ πάλιν ἐκ μεταβολῆς ἐκινδύνευον.
their-own protections and again from turning-about they-ran-risk
οὐ μὴν ἀλλ' ὥσπερ ἀγαθὸς βραβευτὴς ἡ τύχη 58.1
not however but like a-good umpire the fortune
μεταβιβάσασα παραβόλως αὐτοὺς ἐκ τοῦ προειρημένου
having-transferred recklessly them from the aforesaid
τόπου καὶ τοῦ προϋπάρχοντος ἀθλήματος εἰς παραβολώτερον
place and the previous prize into a-more-reckless
ἀγώνισμα καὶ τόπον ἐλάττω συνέκλεισεν.
contest and place smaller shut-(them)-in
ὁ γὰρ Ἀμίλκας, τῶν Ῥωμαίων τὸν Ἔρυκα τηρούντων ἐπί 58.2
— for Hamilcar the Romans — Eryx guarding on
τε τῆς κορυφῆς καὶ παρὰ τὴν ῥίζαν, καθάπερ εἴπομεν,
both the summit and at the foot just-as we-said

κατελάβετο τὴν πόλιν τῶν Ἐρυκίνων, ἥτις ἦν μεταξὺ τῆς
seized the city of-the Erycinians which was between the
τε κορυφῆς καὶ τῶν πρὸς τῇ ῥίζῃ στρατοπεδευσάντων.
both summit and those at the foot having-encamped
58.3 ἐξ οὗ συνέβαινε παραβόλως μὲν ὑπομένειν καὶ
from which it-happened recklessly indeed to-hold-out and
διακινδυνεύειν πολιορκουμένους τοὺς τὴν κορυφὴν κατέχοντας
to-run-risk being-besieged those the summit holding
τῶν Ῥωμαίων, ἀπίστως δὲ τοὺς Καρχηδονίους ἀντέχειν,
of-the Romans incredibly and the Carthaginians to-hold-out
τῶν τε πολεμίων πανταχόθεν προσκειμένων καὶ τῶν
the both enemy from-all-sides pressing and the
χορηγιῶν οὐ ῥᾳδίως αὐτοῖς παρακομιζομένων, ὡς ἂν τῆς
supplies not easily to-them being-brought-in as — the
θαλάττης καθ' ἕνα τόπον καὶ μίαν πρόσοδον ἀντεχομένοις.
sea at one place and one approach holding-to
58.4 οὐ μὴν ἀλλὰ πάλιν ἐνταῦθα πάσαις μὲν ἀμφότεροι
not however but again there all indeed both
ταῖς πολιορκητικαῖς ἐπινοίαις καὶ βίαις χρησάμενοι κατ'
the siege devices and forces having-used against
ἀλλήλων, πᾶν δὲ γένος ἐνδείας ἀνασχόμενοι, πάσης δ'
one-another every and kind of-want having-endured of-every and
ἐπιθέσεως καὶ μάχης πεῖραν λαβόντες,
attack and battle trial having-taken
58.5 τέλος οὐχ, ὡς Φάβιός φησιν, ἐξαδυνατοῦντες καὶ
finally not as Fabius says being-exhausted and
περικακοῦντες, ἀλλ' ὡς ἂν ἀπαθεῖς καὶ ἀήττητοί τινες
being-in-distress but as — unhurt and unconquered some
ἄνδρες ἱερὸν ἐποίησαν τὸν στέφανον.
men sacred made the crown

πρότερον γὰρ ἢ ᾽κείνους ἀλλήλων ἐπικρατῆσαι, καίπερ 58.6
before for than those one-another to-master although
δύ᾽ ἔτη πάλιν ἐν τούτῳ τῷ τόπῳ διαγωνισαμένους, δι᾽
two years again in this the place having-fought through
ἄλλου τρόπου συνέβη λαβεῖν τὸν πόλεμον τὴν κρίσιν.
another way it-happened to-get the war the decision
τὰ μὲν οὖν περὶ τὸν Ἔρυκα καὶ τὰς πεζικὰς δυνάμεις 58.7
the-things indeed therefore about — Eryx and the land forces
τοιαύτην ἔσχε διάθεσιν. τὰ δὲ πολιτεύματ᾽ ἦν ἀμφοτέρων
such had condition the and polities were of-both
παραπλήσια τοῖς ψυχομαχοῦσι τῶν εὐγενῶν ὀρνίθων.
like to-those fighting-to-the-death of-the noble birds
ἐκεῖνοί τε γὰρ πολλάκις ἀπολωλεκότες τὰς πτέρυγας διὰ 58.8
those both for often having-lost the wings because-of
τὴν ἀδυναμίαν, αὐτῇ δὲ τῇ ψυχῇ μένοντες ἐκβάλλουσι
the powerlessness by-the-very and — spirit remaining deliver
τὰς πληγάς, ἕως ἂν αὐτομάτως ποτὲ περιπεσόντες
the blows until — of-themselves at-some-time having-fallen-upon
αὐτοῖς καιρίως ἀλλήλων διαδράξωνται, κἄπειτα τούτου
one-another fatally each-other they-seize and-then this
γενομένου συμβῇ τὸν ἕτερον αὐτῶν προπεσεῖν·
having-happened it-happens the one of-them to-fall-forward
οἵ τε Ῥωμαῖοι καὶ Καρχηδόνιοι κάμνοντες ἤδη τοῖς 58.9
the both Romans and Carthaginians wearied already with-the
πόνοις διὰ τὴν συνέχειαν τῶν κινδύνων εἰς τέλος
toils because-of the continuity of-the dangers to the-end
ἀπήλγουν τήν τε δύναμιν παρελέλυντο καὶ παρεῖντο
were-exhausted the both power were-weakened and enfeebled
διὰ τὰς πολυχρονίους εἰσφορὰς καὶ δαπάνας.
because-of the long-continued taxes and expenses

59.1 ὁμοίως δὲ Ῥωμαῖοι ψυχομαχοῦντες, καίπερ ἔτη σχεδὸν
likewise and Romans fighting-to-the-death although years nearly
ἤδη πέντε τῶν κατὰ θάλατταν πραγμάτων ὁλοσχερῶς
already five of-the at sea affairs utterly
ἀφεστηκότες διά τε τὰς περιπετείας καὶ διὰ τὸ
having-stood-aloof because-of both the reversals and because-of the
πεπεῖσθαι δι' αὐτῶν τῶν πεζικῶν δυνάμεων κρινεῖν
to-be-convinced through the-very — land forces to-be-going-to-decide
τὸν πόλεμον,
the war

59.2 τότε συνορῶντες οὐ προχωροῦν αὑτοῖς τοὔργον κατὰ
then seeing not progressing for-them the-work according-to
τοὺς ἐκλογισμοὺς καὶ μάλιστα διὰ τὴν τόλμαν τοῦ τῶν
the calculations and most because-of the daring of-the of-the
Καρχηδονίων ἡγεμόνος, ἔκριναν τὸ τρίτον ἀντιποιήσασθαι
Carthaginians commander decided the third-time to-lay-claim
τῶν ἐν ταῖς ναυτικαῖς δυνάμεσιν ἐλπίδων,
of-the in the naval forces hopes

59.3 ὑπολαμβάνοντες διὰ τῆς ἐπινοίας ταύτης, εἰ καιρίως
supposing through the plan this if opportunely
ἅψαιντο τῆς ἐπιβολῆς, μόνως ἂν οὕτως πέρας ἐπιθεῖναι
they-took-hold of-the undertaking only — so an-end to-put
τῷ πολέμῳ συμφέρον. ὃ καὶ τέλος ἐποίησαν.
to-the war advantageous which also finally they-did

59.4 τὸ μὲν γὰρ πρῶτον ἐξεχώρησαν τῆς θαλάττης εἴξαντες
the indeed for first they-withdrew from-the sea having-yielded
τοῖς ἐκ τῆς τύχης συμπτώμασιν, τὸ δὲ δεύτερον
to-the from the fortune misfortunes the and second
ἐλαττωθέντες τῇ περὶ τὰ Δρέπανα ναυμαχίᾳ·
having-been-worsted in-the about — Drepana sea-battle

τότε δὲ τρίτην ἐποιοῦντο ταύτην τὴν ἐπιβολήν, δι' 59.5
then and third they-made this the undertaking through
ἧς νικήσαντες καὶ τὰ περὶ τὸν Ἔρυκα στρατόπεδα
which having-conquered and the about — Eryx armies
τῶν Καρχηδονίων ἀποκλείσαντες τῆς κατὰ θάλατταν
of-the Carthaginians having-shut-off from-the by sea
χορηγίας τέλος ἐπέθηκαν τοῖς ὅλοις.
supply an-end they-put to-the whole
ἦν δὲ τῆς ἐπιβολῆς τὸ πλεῖον ψυχομαχία. χορηγία 59.6
was and of-the undertaking the greater-part fighting-to-the-death supply
μὲν γὰρ οὐχ ὑπῆρχε πρὸς τὴν πρόθεσιν ἐν τοῖς κοινοῖς,
indeed for not was for the purpose in the public-funds
οὐ μὴν ἀλλὰ διὰ τὴν τῶν προεστώτων ἀνδρῶν εἰς
not however but because-of the of-the leading men toward
τὰ κοινὰ φιλοτιμίαν καὶ γενναιότητα προσευρέθη
the common-affairs ambition and nobility it-was-found-besides
πρὸς τὴν συντέλειαν.
for the completion
κατὰ γὰρ τὰς τῶν βίων εὐκαιρίας καθ' ἕνα καὶ δύο καὶ 59.7
according-to for the of-the livelihoods means by one and two and
τρεῖς ὑφίσταντο παρέξειν πεντήρη κατηρτισμένην,
three they-undertook to-be-going-to-provide a-quinquereme fitted-out
ἐφ' ᾧ τὴν δαπάνην κομιοῦνται, κατὰ λόγον τῶν
on condition the expense they-will-recover according-to reckoning of-the
πραγμάτων προχωρησάντων.
affairs having-succeeded
τῷ δὲ τοιούτῳ τρόπῳ ταχέως ἑτοιμασθέντων διακοσίων 59.8
in-the and such way quickly having-been-prepared two-hundred
πλοίων πεντηρικῶν, ὧν ἐποιήσαντο τὴν ναυπηγίαν
ships quinqueremes of-which they-made the building
πρὸς τὴν τοῦ Ῥοδίου ναῦν, μετὰ ταῦτα στρατηγὸν
on the of-the Rhodian ship after these-things general

καταστήσαντες Γάϊον Λυτάτιον ἐξέπεμψαν ἀρχομένης τῆς
having-appointed Gaius Lutatius they-sent-out beginning the
θερείας.
summer

59.9 ὃς καὶ παραδόξως ἐπιφανεὶς τοῖς κατὰ τὴν Σικελίαν
who also unexpectedly having-appeared in-the in — Sicily
τόποις τόν τε περὶ τὰ Δρέπανα λιμένα κατέσχε καὶ
places the both about — Drepana harbor occupied and
τοὺς περὶ τὸ Λιλύβαιον ὅρμους, παντὸς ἀνακεχωρηκότος
the about — Lilybaeum anchorages all having-withdrawn
εἰς τὴν οἰκείαν τοῦ τῶν Καρχηδονίων ναυτικοῦ.
into the home of-the of-the Carthaginians navy

59.10 συστησάμενος δὲ περὶ τὴν ἐν τοῖς Δρεπάνοις πόλιν
having-set-up and about the in — Drepana city
ἔργα καὶ τἄλλα πρὸς τὴν πολιορκίαν παρασκευασάμενος,
works and the-other for the siege having-prepared
ἅμα μὲν ταύτῃ προσεκαρτέρει τὰ δυνατὰ ποιῶν,
at-the-same-time indeed at-this persevered the possible-things doing

59.11 ἅμα δὲ προορώμενος τὴν παρουσίαν τοῦ Καρχηδονίων
at-the-same-time and foreseeing the arrival of-the of-Carthaginians
στόλου καὶ μνημονεύων τῆς ἐξ ἀρχῆς προθέσεως ὅτι μόνως
fleet and remembering the from beginning purpose that only
δύναται διὰ τοῦ κατὰ θάλατταν κινδύνου κρίσεως τὰ ὅλα
can through the at sea danger of-decision the whole
τυχεῖν, οὐκ ἀχρεῖον οὐδ' ἀργὸν εἴα γίνεσθαι τὸν χρόνον,
to-attain not useless nor idle he-let to-become the time

59.12 ἀλλ' ἀν' ἑκάστην ἡμέραν ἀναπείρας καὶ μελέτας ποιῶν τοῖς
but on each day trials and exercises making for-the
πληρώμασιν οἰκείως τῆς ἐπιβολῆς τῇ τε λοιπῇ τῇ κατὰ
crews suitably to-the undertaking the both other the in

τὴν δίαιταν ἐπιμελείᾳ προσκαρτερῶν ἀθλητὰς ἀπετέλεσεν
the diet care persevering athletes he-made
πρὸς τὸ προκείμενον ἐν πάνυ βραχεῖ χρόνῳ τοὺς ναύτας.
for the purpose in very short time the sailors
οἱ δὲ Καρχηδόνιοι, παρὰ τὴν ὑπόνοιαν προσπεσόντος 60.1
the and Carthaginians contrary-to the expectation having-fallen-in
αὐτοῖς τοῦ πεπλευκέναι στόλῳ τοὺς Ῥωμαίους καὶ πάλιν
on-them the to-have-sailed with-a-fleet the Romans and again
ἀντιποιεῖσθαι τῆς θαλάττης, παραυτίκα κατήρτιζον τὰς
to-lay-claim of-the sea at-once fitted-out the
ναῦς,
ships
καὶ πληρώσαντες σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων 60.2
and having-filled with-grain and the other provisions
ἐξέπεμπον τὸν στόλον, βουλόμενοι μηδὲν ἐλλείπειν τὰ
they-sent-out the fleet wishing nothing to-lack the
περὶ τὸν Ἔρυκα στρατόπεδα τῶν ἀναγκαίων.
about — Eryx armies of-the necessaries
κατέστησαν δὲ καὶ στρατηγὸν ἐπὶ τῆς ναυτικῆς δυνάμεως 60.3
they-appointed and also general over the naval force
Ἄννωνα· ὃς ἀναχθεὶς καὶ κατάρας ἐπὶ τὴν Ἱερὰν
Hanno who having-put-to-sea and having-put-in at the Sacred
καλουμένην νῆσον ἔσπευδε τοὺς πολεμίους λαθὼν
called island hastened the enemy having-escaped-the-notice-of
διακομισθῆναι πρὸς τὸν Ἔρυκα καὶ τὰς μὲν ἀγορὰς
to-be-carried-across to — Eryx and the indeed provisions
ἀποθέσθαι καὶ κουφίσαι τὰς ναῦς, προσλαβὼν δ' ἐπιβάτας
to-unload and to-lighten the ships having-taken-on and as-marines
ἐκ τῶν μισθοφόρων τοὺς ἐπιτηδείους καὶ Βάρκαν μετ'
from the mercenaries the suitable and Barca with
αὐτῶν, οὕτως συμμίσγειν τοῖς ὑπεναντίοις.
them so to-engage the opponents

60.4 ὁ δὲ Λυτάτιος συνεὶς τὴν παρουσίαν τῶν περὶ τὸν
— *and Lutatius having-perceived the arrival of-those about —*
Ἄννωνα καὶ συλλογισάμενος τὴν ἐπίνοιαν αὐτῶν, ἀναλαβὼν
Hanno and having-reasoned-out the plan of-them having-taken-up
ἀπὸ τοῦ πεζοῦ στρατεύματος τοὺς ἀρίστους ἄνδρας ἔπλευσε
from the land army the best men sailed
πρὸς τὴν Αἰγοῦσσαν νῆσον τὴν πρὸ τοῦ Λιλυβαίου κειμένην.
to — Aegusa island the before — Lilybaeum lying
60.5 κἀνταῦθα παρακαλέσας τὰ πρέποντα τῷ καιρῷ τὰς
and-there having-exhorted-(them) the-things fitting to-the occasion the
δυνάμεις διεσάφει τοῖς κυβερνήταις ὡς ἐσομένης εἰς τὴν
forces he-made-clear to-the helmsmen that to-be-going-to-be on the
αὔριον ναυμαχίας.
morrow a-sea-battle
60.6 ὑπὸ δὲ τὴν ἑωθινήν, ἤδη τῆς ἡμέρας ὑποφαινούσης, ὁρῶν
toward and the dawn already the day appearing seeing
τοῖς μὲν ἐναντίοις φορὸν ἄνεμον καταρρέοντα καὶ λαμπρόν,
for-the indeed opponents favorable wind streaming-down and brisk
σφίσι δὲ δυσχερῆ γινόμενον τὸν ἀνάπλουν πρὸς ἀντίον
for-themselves and difficult becoming the sailing-up against contrary
τὸ πνεῦμα, κοίλης καὶ τραχείας οὔσης τῆς θαλάττης, τὸ
the wind hollow and rough being the sea the
μὲν πρῶτον διηπόρει τί δεῖ χρῆσθαι τοῖς παροῦσι.
indeed first he-was-at-a-loss how it-is-needful to-deal-with the present-things
60.7 συλλογιζόμενος δ' ὡς ἐὰν μὲν παραβάλληται χειμῶνος
reasoning and that if indeed he-ventures storm
ὄντος, πρὸς Ἄννωνα ποιήσεται τὸν ἀγῶνα καὶ πρὸς αὐτὰς
being against Hanno he-will-make the contest and against the-very
τὰς ναυτικὰς δυνάμεις καὶ πρὸς ἔτι γέμοντα τὰ σκάφη,
— naval forces and against still laden the vessels

ἐὰν δὲ τηρῶν εὐδίαν καὶ καταμέλλων ἐάσῃ διᾶραι καὶ 60.8
if but watching-for fair-weather and delaying he-lets to-cross and
συμμῖξαι τοῖς στρατοπέδοις τοὺς πολεμίους, πρός τε τὰς
to-join the armies the enemy against both the
ναῦς εὐκινήτους καὶ κεκουφισμένας ἀγωνιεῖται πρός τε
ships nimble and lightened he-will-contend against both
τοὺς ἀρίστους ἄνδρας τῶν ἐκ τοῦ πεζοῦ στρατευμάτων,
the best men of-the from the land armies
τὸ δὲ μέγιστον, πρὸς τὴν Ἀμίλκου τόλμαν, ἧς οὐδὲν
the and greatest against the of-Hamilcar daring than-which nothing
ἦν τότε φοβερώτερον·
was then more-fearsome
διόπερ ἔκρινε μὴ παρεῖναι τὸν ἐνεστῶτα καιρόν· συνιδὼν 60.9
wherefore he-decided not to-let-pass the present moment having-seen
δὲ τὰς τῶν πολεμίων ναῦς ἱστιοδρομούσας ἀνήγετο μετὰ
and the of-the enemy ships running-under-sail he-put-to-sea with
σπουδῆς.
haste
τῶν δὲ πληρωμάτων εὐχερῶς ἀναφερόντων τὸν κλύδωνα 60.10
of-the and crews easily bearing the surf
ταῖς εὐεξίαις, ταχέως ἐπὶ μίαν ἐκτείνας ναῦν
by-the good-conditions quickly in one having-extended ship
ἀντίπρωρρον κατέστησε τοῖς πολεμίοις τὸν στόλον.
prow-on he-set to-the enemy the fleet
οἱ δὲ Καρχηδόνιοι κατιδόντες τὸν διάπλουν αὐτῶν 61.1
the and Carthaginians having-seen the crossing of-them
προκατέχοντας τοὺς Ῥωμαίους, καθελόμενοι τοὺς ἱστοὺς
anticipating the Romans having-lowered the masts
καὶ παρακαλέσαντες κατὰ ναῦν σφᾶς αὐτοὺς συνέβαλλον
and having-exhorted by ship them selves engaged
τοῖς ὑπεναντίοις.
the opponents

61.2 τῆς δ' ἑκατέρων παρασκευῆς τὴν ἐναντίαν ἐχούσης
of-the and of-each preparation the opposite having
διάθεσιν τῇ περὶ τὰ Δρέπανα γενομένῃ ναυμαχίᾳ, καὶ
condition to-the about — Drepana having-happened sea-battle also
τὸ τέλος ἑκατέροις τῆς μάχης εἰκότως ἐναντίον ἀπέβη.
the outcome for-each of-the battle reasonably opposite turned-out
61.3 Ῥωμαῖοι μὲν γὰρ τήν τε ναυπηγίαν μετειλήφεσαν καὶ τὰ
Romans indeed for the both shipbuilding had-changed and the
βάρη πάντα χωρὶς τῶν πρὸς τὴν ναυμαχίαν ἐπιτηδείων
weights all apart-from the for the sea-battle necessary
ἐξετέθειντο· τά τε πληρώματα συγκεκροτημένα διαφέρουσαν
had-put-out the and crews well-drilled exceptional
αὐτοῖς τὴν χρείαν παρείχετο, τούς τ' ἐπιβάτας κατ' ἐκλογὴν
to-them the service provided the and marines by selection
ἄνδρας ἀπαραχωρήτους ἐκ τῶν πεζικῶν στρατοπέδων εἶχον.
men not-giving-ground from the land armies they-had
61.4 περὶ δὲ τοὺς Καρχηδονίους τἀναντία τούτοις ὑπῆρχεν. αἱ
about and the Carthaginians the-opposite to-these was the
μὲν γὰρ νῆες γέμουσαι δυσχρήστως διέκειντο πρὸς τὸν
indeed for ships laden awkwardly were-placed for the
κίνδυνον, τὰ δὲ πληρώματα τελέως ἦν ἀνάσκητα καὶ
danger the and crews completely were untrained and
πρὸς καιρὸν ἐμβεβλημένα, τὰ δ' ἐπιβατικὰ νεοσύλλογα
for the-occasion thrown-in the and marine-force newly-levied
καὶ πρωτόπειρα πάσης κακοπαθείας καὶ παντὸς δεινοῦ.
and untried of-all hardship and of-every danger
61.5 διὰ γὰρ τὸ μηδέποτ' ἂν ἔτι τοὺς Ῥωμαίους ἐλπίσαι
because-of for the never — any-more the Romans to-hope
τῆς θαλάττης ἀντιποιήσασθαι καταφρονήσαντες ὠλιγώρουν
of-the sea to-lay-claim having-despised they-neglected
τῶν ναυτικῶν δυνάμεων.
the naval forces

τοιγαροῦν ἅμα τῷ συμβαλεῖν κατὰ πολλὰ 61.6
accordingly at-the-same-time with-the to-engage in many
μέρη τῆς μάχης ἐλαττούμενοι ταχέως ἐλείφθησαν, καὶ
parts of-the battle being-worsted quickly they-were-beaten and
πεντήκοντα μὲν αὐτῶν ναῦς κατέδυσαν, ἑβδομήκοντα δ'
fifty indeed of-them ships sank seventy and
ἑάλωσαν αὔτανδροι·
were-captured with-their-crews
τὸ δὲ λοιπὸν πλῆθος ἐπαράμενον τοὺς ἱστοὺς καὶ 61.7
the and remaining number having-hoisted the masts and
κατουρῶσαν αὖθις ἀπεχώρει πρὸς τὴν Ἱερὰν νῆσον,
running-before-the-wind again withdrew to the Sacred island
εὐτυχῶς καὶ παραδόξως ἐκ μεταβολῆς αὐτοῖς πρὸς τὸν
fortunately and unexpectedly from a-shift for-them at the
δέοντα καιρὸν τοῦ πνεύματος συνεργήσαντος.
needful moment the wind having-helped
ὁ μὲν οὖν τῶν Ῥωμαίων στρατηγὸς ἀποπλεύσας 61.8
the indeed therefore of-the Romans general having-sailed-off
πρὸς τὸ Λιλύβαιον καὶ τὰ στρατόπεδα περὶ τὴν τῶν
to — Lilybaeum and the legions about the of-the
αἰχμαλώτων πλοίων καὶ τῶν σωμάτων οἰκονομίαν ἐγίνετο,
captured ships and of-the persons management turned
μεγάλην οὖσαν· οὐ γὰρ πολὺ τῶν μυρίων ἔλειπε
great being not for much of-the ten-thousand fell-short
σωμάτων τὰ ληφθέντα ζωγρίᾳ κατὰ τὸν κίνδυνον.
persons the-ones taken alive in the struggle
οἱ δὲ Καρχηδόνιοι, προσπεσούσης αὐτοῖς ἀπροσδοκήτως 62.1
the and Carthaginians having-fallen-on them unexpectedly
τῆς ἥττης, ταῖς μὲν ὁρμαῖς καὶ ταῖς φιλοτιμίαις ἀκμὴν
the defeat in-the indeed impulses and in-the ambitions still
ἕτοιμοι πολεμεῖν ἦσαν, τοῖς δὲ λογισμοῖς ἐξηπόρουν.
ready to-wage-war were in-the but calculations were-at-a-loss

62.2 οὔτε γὰρ χορηγεῖν ἔτι ταῖς ἐν τῇ Σικελίᾳ δυνάμεσιν
neither for to-supply any-longer the in — Sicily forces
οἷοί τ' ἦσαν, κρατούντων τῆς θαλάττης τῶν ὑπεναντίων·
able — they-were mastering the sea the opponents
ἀπογνόντες δὲ ταύτας καὶ προδόται τρόπον τινὰ γενόμενοι,
having-given-up and these and betrayers in-way some having-become
ποίαις χερσὶν ἢ ποίοις ἡγεμόσιν πολεμήσειαν οὐκ εἶχον.
with-what hands or with-what commanders they-should-wage-war not they-had
62.3 διόπερ ὀξέως διαπεμψάμενοι πρὸς τὸν Βάρκαν ἐπέτρεψαν
wherefore quickly having-sent to — Barca they-entrusted
ἐκείνῳ περὶ τῶν ὅλων. ὁ δὲ καὶ λίαν ἐποίησεν ἔργον
to-that-man about the whole he and also very did the-work
ἡγεμόνος ἀγαθοῦ καὶ φρονίμου.
of-a-commander good and prudent
62.4 μέχρι μὲν γὰρ ἐκ τῶν κατὰ λόγον ἦν τις ἐλπὶς
as-long-as indeed for from the-things according-to reckoning there-was some hope
ἐν τοῖς ὑποκειμένοις, οὐδὲν τῶν παραβόλων ἢ δεινῶν
in the existing-circumstances nothing of-the reckless-things or terrible
δοκούντων εἶναι παρέλιπεν, ἀλλὰ πάσας τὰς τοῦ νικᾶν ἐν
seeming to-be he-left-out but all the of-the to-conquer in
τῷ πολεμεῖν ἐλπίδας, εἰ καί τις ἄλλος ἡγεμόνων, ἐξήλεγξεν.
the to-wage-war hopes if even any other of-commanders he-tested
62.5 ἐπειδὴ δὲ περιέστη τὰ πράγματα, καὶ τῶν κατὰ
when and turned-about the affairs and of-the-things according-to
λόγον οὐδὲν ἔτι κατελείπετο πρὸς τὸ σῴζειν τοὺς
reckoning nothing any-longer was-left for the to-save those
ὑποταττομένους, πάνυ νουνεχῶς καὶ πραγματικῶς εἴξας
under-him very sensibly and practically having-yielded
τοῖς παροῦσιν ὑπὲρ σπονδῶν καὶ διαλύσεων ἐξαπέστελλε
to-the present-things about treaty and terms he-sent-out
πρεσβευτάς.
envoys

τοῦ γὰρ αὐτοῦ νομιστέον ἡγεμόνος εἶναι τὸ δύνασθαι 62.6
of-the for same one-must-consider commander to-be the to-be-able
βλέπειν τόν τε τοῦ νικᾶν, ὁμοίως δὲ καὶ τὸν τοῦ
to-see the both of-the to-conquer likewise and also the of-the
λείπεσθαι καιρόν.
to-be-defeated moment
τοῦ δὲ Λυτατίου προθύμως δεξαμένου τὰ παρακαλούμενα 62.7
— and Lutatius eagerly having-accepted the-things requested
διὰ τὸ συνειδέναι τοῖς σφετέροις πράγμασι τετρυμένοις
because-of the to-be-conscious-of the their-own affairs worn-out
καὶ κάμνουσιν ἤδη τῷ πολέμῳ, συνέβη τέλος ἐπιθεῖναι
and suffering already from-the war it-happened an-end to-put
τῇ διαφορᾷ τοιούτων τινῶν συνθηκῶν διαγραφεισῶν·
to-the dispute such some treaty having-been-drawn-up
"ἐπὶ τοῖσδε φιλίαν εἶναι Καρχηδονίοις καὶ Ῥωμαίοις, ἐὰν 62.8
on these-terms friendship to-be for-Carthaginians and Romans if
καὶ τῷ δήμῳ τῶν Ῥωμαίων συνδοκῇ. ἐκχωρεῖν Σικελίας
also to-the people of-the Romans it-seems-good to-withdraw-from Sicily
ἁπάσης Καρχηδονίους καὶ μὴ πολεμεῖν Ἱέρωνι μηδ' ἐπιφέρειν
all Carthaginians and not to-wage-war with-Hiero nor to-bring
ὅπλα Συρακοσίοις μηδὲ τῶν Συρακοσίων συμμάχοις.
arms against-Syracusans nor of-the Syracusans against-allies
ἀποδοῦναι Καρχηδονίους Ῥωμαίοις χωρὶς λύτρων ἅπαντας 62.9
to-give-back Carthaginians to-Romans without ransoms all
τοὺς αἰχμαλώτους. ἀργυρίου κατενεγκεῖν Καρχηδονίους
the prisoners of-silver to-pay Carthaginians
Ῥωμαίοις ἐν ἔτεσιν εἴκοσι δισχίλια καὶ διακόσια τάλαντα
to-Romans in years twenty two-thousand and two-hundred talents
Εὐβοϊκά."
Euboic

63.1 τούτων δ' ἐπανενεχθέντων εἰς τὴν Ῥώμην, οὐ προσεδέξατο
these and having-been-referred to — Rome not accepted
τὰς συνθήκας ὁ δῆμος. ἀλλ' ἐξαπέστειλεν ἄνδρας δέκα
the treaty the people but sent-out men ten
τοὺς ἐπισκεψομένους ὑπὲρ τῶν πραγμάτων.
those to-be-going-to-examine about the affairs
63.2 οἳ καὶ παραγενόμενοι τῶν μὲν ὅλων οὐδὲν ἔτι μετέθηκαν,
who also having-arrived of-the indeed whole nothing further changed
βραχέα δὲ προσεπέτειναν τοὺς Καρχηδονίους.
slight-things and they-added-to-the-burden-of the Carthaginians
63.3 τόν τε γὰρ χρόνον τῶν φόρων ἐποίησαν ἥμισυν,
the both for time of-the payments they-made half
χίλια τάλαντα προσθέντες, τῶν τε νήσων ἐκχωρεῖν
a-thousand talents having-added from-the both islands to-withdraw
Καρχηδονίους προσεπέταξαν, ὅσαι μεταξὺ τῆς Ἰταλίας
Carthaginians they-ordered-besides as-many-as between — Italy
κεῖνται καὶ τῆς Σικελίας.
lie and — Sicily
63.4 ὁ μὲν οὖν Ῥωμαίοις καὶ Καρχηδονίοις συστὰς περὶ
the indeed therefore for-Romans and Carthaginians having-arisen about
Σικελίας πόλεμος ἐπὶ τοιούτοις καὶ τοιοῦτον ἔσχε τὸ τέλος,
Sicily war on such-terms and such had the end
ἔτη πολεμηθεὶς εἴκοσι καὶ τέτταρα συνεχῶς, πόλεμος
years having-been-fought twenty and four continuously a-war
ὧν ἡμεῖς ἴσμεν ἀκοῇ μαθόντες πολυχρονιώτατος
of-those-which we know by-hearing having-learned longest
καὶ συνεχέστατος καὶ μέγιστος.
and most-continuous and greatest
63.5 ἐν ᾧ χωρὶς τῶν λοιπῶν ἀγώνων καὶ παρασκευῶν,
in which apart-from the other contests and preparations
καθάπερ εἴπομεν ἀνώτερον, ἅπαξ μὲν οἱ συνάμφω πλείοσιν
as we-said higher-up once indeed the both-together with-more

ἢ πεντακοσίοις, πάλιν δὲ μικρῷ λείπουσιν ἑπτακοσίοις
than five-hundred again and a-little falling-short-of seven-hundred
σκάφεσι πεντηρικοῖς ἐναυμάχησαν πρὸς ἀλλήλους.
vessels quinqueremes they-fought-at-sea against one-another
ἀπέβαλόν γε μὴν Ῥωμαῖοι μὲν ἐν τῷ πολέμῳ τούτῳ 63.6
they-lost at-least indeed Romans indeed in the war this
πεντήρεις μετὰ τῶν ἐν ταῖς ναυαγίαις διαφθαρεισῶν εἰς
quinqueremes with those in the shipwrecks destroyed about
ἑπτακοσίας, Καρχηδόνιοι δ' εἰς πεντακοσίας.
seven-hundred Carthaginians and about five-hundred
ὥστε τοὺς θαυμάζοντας τὰς Ἀντιγόνου καὶ Πτολεμαίου 63.7
so-that those admiring the of-Antigonus and of-Ptolemy
καὶ Δημητρίου ναυμαχίας καὶ τοὺς στόλους εἰκότως ἂν
and of-Demetrius sea-battles and the fleets reasonably —
περὶ τούτων ἱστορήσαντας ἐκπεπλῆχθαι τὴν ὑπερβολὴν
about these having-learned to-be-astounded-at the excess
τῶν πράξεων.
of-the deeds
εἰ δέ τις βουληθείη συλλογίσασθαι τὴν διαφορὰν τῶν 63.8
if and anyone should-wish to-reckon the difference of-the
πεντηρικῶν πλοίων πρὸς τὰς τριήρεις, αἷς οἵ τε Πέρσαι
quinquereme ships compared-to the triremes in-which the both Persians
πρὸς τοὺς Ἕλληνας καὶ πάλιν Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι
against the Greeks and again Athenians and Lacedaemonians
πρὸς ἀλλήλους ἐναυμάχουν, οὐδ' ἂν καθόλου δυνηθείη
against one-another fought-at-sea not-even — at-all could-he
τηλικαύτας δυνάμεις εὑρεῖν ἐν θαλάττῃ διηγωνισμένας.
so-great forces to-find on sea having-contended
ἐξ ὧν δῆλον τὸ προτεθὲν ἡμῖν ἐξ ἀρχῆς ὡς οὐ 63.9
from which clear the-thing proposed by-us from the-beginning that not
τύχῃ Ῥωμαῖοι, καθάπερ ἔνιοι δοκοῦσι τῶν Ἑλλήνων,
by-fortune Romans as some think of-the Greeks

οὐδ᾽ αὐτομάτως, ἀλλὰ καὶ λίαν εἰκότως ἐν τοιούτοις
nor by-chance but also very reasonably in such
καὶ τηλικούτοις πράγμασιν ἐνασκήσαντες οὐ μόνον
and so-great affairs having-trained-themselves not only
ἐπεβάλοντο τῇ τῶν ὅλων ἡγεμονίᾳ καὶ δυναστείᾳ
attempted the of-the whole supremacy and dominion
τολμηρῶς, ἀλλὰ καὶ καθίκοντο τῆς προθέσεως.
boldly but also attained of-the purpose

I.64–72 · THE MERCENARIES REVOLT

Polybius judges the two states evenly matched in purpose in the war just ended, the Romans the better men and Hamilcar Barca the best general. Each then met a war at home, and Carthage's, he says, shows what an employer of mercenaries must guard against and why the Hannibalic war came. Short of money, the Carthaginians gather their mercenaries at Sicca, where Hanno asks them to forgo part of their pay. Angered, they march on Tunis, and every concession breeds a new demand. Gesco comes to pay them, but Spendius, a Campanian slave, and Matho, a Libyan, stir them up, seize Gesco, and raise Libya. The Libyan towns, harshly taxed by Carthage in the late war, join, the women give their ornaments, and Utica and Hippacritae are besieged.

64.1 καὶ τί δήποτ᾽ ἔστι τὸ αἴτιον, ἀπορήσαι τις ἄν,
and what ever is the cause could-be-at-a-loss anyone —
ὅτι κεκρατηκότες τῶν ὅλων καὶ πολλαπλασίαν ἔχοντες
why having-mastered the whole and many-times-greater having
ὑπεροχὴν νῦν ἢ πρόσθεν οὔτ᾽ ἂν πληρῶσαι τοσαύτας
preeminence now than before neither — could-they-man so-many
ναῦς οὔτ᾽ ἀναπλεῦσαι τηλικούτοις στόλοις δυνηθεῖεν;
ships nor put-to-sea with-such fleets be-able

οὐ μὴν ἀλλὰ περὶ μὲν ταύτης τῆς ἀπορίας σαφῶς 64.2
not however but about indeed this the perplexity clearly
ἐξέσται τὰς αἰτίας κατανοεῖν, ὅταν ἐπὶ τὴν ἐξήγησιν
it-will-be-possible the causes to-understand when to the exposition
αὐτῶν τῆς πολιτείας ἔλθωμεν· ὑπὲρ ἧς οὔθ' ἡμῖν
of-them of-the constitution we-come about which neither by-us
ἐν παρέργῳ ῥητέον οὔτε τοῖς ἀκούουσιν ἀργῶς
in passing it-is-to-be-spoken nor by-those hearing idly
προσεκτέον.
it-is-to-be-attended-to
τὸ μὲν γὰρ θέαμα καλόν, σχεδὸν δ' ὡς ἔπος εἰπεῖν 64.3
the indeed for spectacle fine nearly but as a-word to-say
ἄγνωστον ἕως τοῦ νῦν χάριν τῶν περὶ αὐτῆς
unknown until the now for-the-sake-of those about it
συγγεγραφότων.
having-written
οἱ μὲν γὰρ ἠγνοήκασιν, οἱ δ' ἀσαφῆ καὶ τελέως 64.4
some indeed for have-been-ignorant others and unclear and completely
ἀνωφελῆ πεποίηνται τὴν ἐξήγησιν.
useless have-made the exposition
πλὴν ἔν γε τῷ προειρημένῳ πολέμῳ τὰς μὲν τῶν 64.5
however in at-least the aforesaid war the indeed of-the
πολιτευμάτων ἀμφοτέρων προαιρέσεις ἐφαμίλλους εὕροι
polities both purposes evenly-matched could-find
τις ἂν γεγενημένας οὐ μόνον ταῖς ἐπιβολαῖς ἀλλὰ καὶ
anyone — having-been not only in-the undertakings but also
ταῖς μεγαλοψυχίαις, μάλιστα δὲ τῇ περὶ τῶν πρωτείων
in-the magnanimities most and in-the about the first-prizes
φιλοτιμίᾳ,
ambition

64.6 τούς γε μὴν ἄνδρας οὐ μικρῷ πολλῷ δὲ γενναιοτέρους
the at-least indeed men not by-a-little by-much but nobler
ἐν παντὶ Ῥωμαίους· ἡγεμόνα δὲ καὶ γνώμῃ καὶ τόλμῃ
in everything Romans a-commander and both in-judgment and in-daring
θετέον ἄριστον Ἀμίλκαν τῶν τότε γεγονέναι τὸν
one-must-reckon best Hamilcar of-those then to-have-been —
Βάρκαν ἐπικαλούμενον, πατέρα δὲ κατὰ φύσιν Ἀννίβου
Barca called father and by nature of-Hannibal
τοῦ μετὰ ταῦτα πολεμήσαντος Ῥωμαίοις.
the-one after these-things having-warred with-Romans

65.1 μετὰ δὲ τὰς διαλύσεις ταύτας ἴδιόν τι καὶ παραπλήσιον
after and the terms these peculiar something and similar
ἀμφοτέροις συνέβη παθεῖν.
to-both happened to-suffer

65.2 ἐξεδέξατο γὰρ πόλεμος ἐμφύλιος Ῥωμαίους μὲν ὁ
succeeded for war civil Romans indeed the-one
πρὸς τοὺς Φαλίσκους καλουμένους, ὃν ταχέως καὶ
against the Faliscans called which quickly and
συμφερόντως ἐπετέλεσαν, ἐν ὀλίγαις ἡμέραις ἐγκρατεῖς
advantageously they-finished in few days masters
γενόμενοι τῆς πόλεως αὐτῶν,
having-become of-the city their

65.3 Καρχηδονίους δὲ κατὰ τὸν αὐτὸν καιρὸν οὐ μικρὸς
Carthaginians and at the same time not small
οὐδ' εὐκαταφρόνητος ὁ πρὸς τοὺς ξένους καὶ τοὺς
nor contemptible the-one against the mercenaries and the
Νομάδας καὶ τοὺς ἅμα τούτοις ἀποστάντας Λίβυας,
Numidians and the together-with these having-revolted Libyans

ἐν ᾧ πολλοὺς καὶ μεγάλους ὑπομείναντες φόβους τέλος 65.4
in which many and great having-endured fears finally
οὐ μόνον ὑπὲρ τῆς χώρας ἐκινδύνευσαν, ἀλλὰ καὶ περὶ
not only for the country they-ran-risk but also about
σφῶν αὐτῶν καὶ τοῦ τῆς πατρίδος ἐδάφους.
them selves and the of-the fatherland ground
ἐπὶ δὲ τὸν πόλεμον τοῦτον ἐπιστῆσαι μὲν ἄξιον διὰ 65.5
on and the war this to-dwell indeed worthy because-of
πλείους αἰτίας, ἐπὶ κεφαλαίου δὲ καὶ διὰ βραχέων αὐτοῦ
more causes in summary and also through brief-words of-it
ποιήσασθαι τὴν ἐξήγησιν κατὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν.
to-make the exposition according-to the from the-beginning purpose
τόν τε γὰρ παρὰ τοῖς πολλοῖς λεγόμενον ἄσπονδον 65.6
the both for among the many called truceless
πόλεμον, τίνα φύσιν ἔχει καὶ διάθεσιν, μάλιστ' ἄν τις
war what nature it-has and condition most — anyone
ἐκ τῶν τότε γεγονότων ἐπιγνοίη,
from the-things then having-happened could-recognize
τούς τε χρωμένους μισθοφορικαῖς δυνάμεσι τίνα δεῖ 65.7
the both using mercenary forces what it-is-needful
προορᾶσθαι καὶ φυλάττεσθαι μακρόθεν, ἐναργέστατ' ἂν ἐκ
to-foresee and to-guard-against from-afar most-clearly — from
τῆς τότε περιστάσεως συνθεωρήσειεν, πρὸς δὲ τούτοις τί
the then circumstance could-observe besides and these what
διαφέρει καὶ κατὰ πόσον ἤθη σύμμικτα καὶ βάρβαρα
differs and by how-much characters mixed and barbarous
τῶν ἐν παιδείαις καὶ νόμοις καὶ πολιτικοῖς ἔθεσιν
from-those in educations and laws and civic customs
ἐκτεθραμμένων·
brought-up

65.8 τὸ δὲ μέγιστον, τὰς αἰτίας ἐκ τῶν ἐν ἐκείνοις τοῖς
the and greatest the causes from the-things in those the
καιροῖς πεπραγμένων κατανοήσειεν, δι᾽ ἃς ὁ κατ᾽
times done could-understand through which the in
Ἀννίβαν συνέστη Ῥωμαίοις καὶ Καρχηδονίοις πόλεμος.
Hannibal's-time arose for-Romans and Carthaginians war
65.9 ὑπὲρ οὗ διὰ τὸ μὴ μόνον παρὰ τοῖς συγγραφεῦσιν,
about which because-of the not only among the historians
ἀλλὰ καὶ παρὰ τοῖς πεπολεμηκόσιν ἔτι νῦν ἀμφισβητεῖσθαι
but also among those having-fought still now to-be-disputed
τὰς αἰτίας, χρήσιμόν ἐστι τὴν ἀληθινωτάτην παραστῆσαι
the causes useful it-is the truest to-present
διάληψιν τοῖς φιλομαθοῦσιν.
judgment to-those loving-learning
66.1 ὡς γὰρ θᾶττον ἐπιτελεσθεισῶν τῶν προειρημένων
as for sooner having-been-concluded the aforesaid
διαλύσεων ἀποκατέστησε τὰς περὶ τὸν Ἔρυκα δυνάμεις εἰς
terms brought-back the about — Eryx forces to
τὸ Λιλύβαιον ὁ Βάρκας, εὐθέως αὐτὸς μὲν ἀπέθετο τὴν
— Lilybaeum — Barca straightway himself indeed laid-down the
ἀρχήν, ὁ δ᾽ ἐπὶ τῆς πόλεως στρατηγὸς Γέσκων ἐγίνετο
command the and over the city general Gesco turned
περὶ τὸ περαιοῦν τοὺς στρατιώτας εἰς τὴν Λιβύην.
to the to-carry-across the soldiers to — Libya
66.2 προϊδόμενος δὲ τὸ μέλλον ἐμφρόνως ἐνεβίβαζε
having-foreseen and the future prudently he-embarked-(them)
κατὰ μέρη διαιρῶν αὐτοὺς καὶ διαλείμματα ποιῶν τῆς
by parts dividing them and intervals making of-the
ἐξαποστολῆς,
dispatch

βουλόμενος ἀναστροφὴν διδόναι τοῖς Καρχηδονίοις εἰς 66.3
wishing time-to-turn to-give to-the Carthaginians for
τὸ τοὺς καταπλεύσαντας καὶ μισθοδοτηθέντας τὰ
the the having-sailed-in and having-been-paid the-things
προσοφειλόμενα τῶν ὀψωνίων φθάνειν ἀπαλλαττομένους
owed of-the wages to-anticipate departing
ἐκ τῆς Καρχηδόνος εἰς τὴν οἰκείαν πρὶν ἢ τοὺς ἑξῆς
from — Carthage to the home before than the next
περαιουμένους ἐπικαταλαβεῖν.
crossing to-overtake-(them)
ὁ μὲν οὖν Γέσκων ἐχόμενος ταύτης τῆς ἐννοίας οὕτως 66.4
— indeed therefore Gesco holding-to this the plan so
ἐχείριζε τὰ κατὰ τὴν ἐξαποστολήν.
managed the-things concerning the dispatch
οἱ δὲ Καρχηδόνιοι τὰ μὲν οὐκ εὐπορούμενοι χρημάτων 66.5
the and Carthaginians partly indeed not being-well-off for-money
διὰ τὰς προγεγενημένας δαπάνας, τὰ δὲ καὶ
because-of the previous expenses partly and also
πεπεισμένοι παραιτήσεσθαι τοὺς μισθοφόρους μέρος τι
being-convinced to-be-going-to-beg-off the mercenaries part some
τῶν προσοφειλομένων ὀψωνίων, ἐὰν καὶ συναθροίσωσι
of-the owed wages if also they-should-assemble
καὶ δέξωνται πάντας εἰς τὴν Καρχηδόνα, παρακατεῖχον
and should-receive all into — Carthage detained
ἐκεῖ τοὺς καταπλέοντας διὰ ταύτην τὴν ἐλπίδα καὶ
there those sailing-in because-of this the hope and
συνεῖχον ἐν τῇ πόλει.
kept-(them) in the city
γινομένων δὲ πλειόνων ἀδικημάτων καὶ νύκτωρ καὶ 66.6
happening and more offenses both by-night and
μεθ' ἡμέραν, τὸ μὲν πρῶτον ὑπιδόμενοι τὸν ὄχλον
by day the indeed first having-suspected the crowd

καὶ τὴν συμβαίνουσαν ἀκρασίαν ἠξίωσαν τοὺς ἡγεμόνας,
and the occurring licentiousness they-asked the commanders
ἕως ἂν ἑτοιμασθῇ μὲν τὰ κατὰ τὰς σιταρχίας
until — should-be-prepared indeed the-things concerning the food-allowances
αὐτοῖς, προσδέξωνται δὲ τοὺς ἀπολειπομένους, ἀναχωρῆσαι
for-them they-should-receive and those left-behind to-withdraw
πάντας εἴς τινα πόλιν τὴν προσαγορευομένην Σίκκαν,
all to some city the called Sicca
λαβόντας εἰς τὰ κατεπείγοντα χρυσοῦν ἕκαστον.
having-taken for the urgent-needs a-gold-piece each

66.7 προθύμως δὲ συνυπακουσάντων πρὸς τὴν ἔξοδον καὶ
eagerly and having-agreed to the departure and
βουλομένων αὐτοῦ καταλιπεῖν τὰς ἀποσκευάς, καθάπερ
wishing there to-leave the baggage just-as
καὶ τὸν πρῶτον χρόνον ὑπῆρχον, ὡς θᾶττον ἐσομένης
also the first time they-were as sooner to-be-going-to-be
τῆς ἐπανόδου πρὸς τοὺς ὀψωνιασμούς,
the return to the payments

66.8 ἀγωνιῶντες οἱ Καρχηδόνιοι μή ποτε διὰ χρόνου
anxious the Carthaginians lest ever after time
παραγεγονότες, καὶ τινὲς μὲν τέκνων ἔνιοι δὲ καὶ γυναικῶν
having-arrived and some indeed for-children some and also for-wives
ἱμείροντες, οἱ μὲν οὐκ ἐκπορευθῶσι τὸ παράπαν, οἱ δ'
longing some indeed not go-out the altogether others and
ἐκπορευθέντες αὖθις ἀνακάμπτωσι πρὸς ταῦτα, καὶ τῷ
having-gone-out again turn-back to these and in-the
τοιούτῳ τρόπῳ μηδὲν ἧττον ἀδίκημα γίνηται κατὰ τὴν πόλιν,
such way nothing less wrong happen in the city

ταῦτα προορώμενοι μετὰ πολλῆς ἀπεχθείας οὐδαμῶς 66.9
these-things foreseeing with much hatred in-no-way
βουλομένους τοὺς ἀνθρώπους ἠνάγκασαν τὰς ἀποσκευὰς
wishing the men they-compelled the baggage
μεθ' αὑτῶν ἀπαγαγεῖν.
with themselves to-take-away
οἱ δὲ μισθοφόροι συναναχθέντες εἰς τὴν Σίκκαν καὶ διὰ 66.10
the and mercenaries having-been-gathered to — Sicca and after
πολλοῦ χρόνου τετευχότες ἀνέσεως καὶ σχολῆς, ὅπερ
long time having-obtained relaxation and leisure which
ἀφυέστατον ὑπάρχει ξενικαῖς δυνάμεσι καὶ σχεδὸν ὡς εἰπεῖν
most-unsuitable is for-foreign forces and nearly as to-say
ἀρχηγὸν καὶ μόνον αἴτιον γίνεται στάσεως, διῆγον ἀδεῶς.
originator and only cause becomes of-sedition they-lived fearlessly
ἅμα δὲ ῥᾳθυμοῦντες, τινὲς μὲν αὐτῶν ἐξελογίζοντο 66.11
at-the-same-time and idling some indeed of-them reckoned
τὰ προσοφειλόμενα σφίσι τῶν ὀψωνίων ἐπὶ τὸ πλεῖον
the owed to-them of-the wages to the more
καὶ συγκεφαλαιούμενοι πολλαπλάσια τῶν καθηκόντων
and summing-up many-times-more than-the due
ταῦτ' ἔφασαν δεῖν ἀπαιτεῖν τοὺς Καρχηδονίους·
these-things they-said it-was-needful to-demand the Carthaginians
πάντες δ' ἀναμιμνησκόμενοι τῶν ἐπαγγελιῶν, ὧν οἱ 66.12
all and remembering the promises which the
στρατηγοὶ κατὰ τοὺς ἐπισφαλεῖς τῶν καιρῶν παρακαλοῦντες
generals at the perilous of-the times exhorting
σφᾶς ἐπεποίηντο, μεγάλας εἶχον ἐλπίδας καὶ μεγάλην
them had-made great had hopes and great
προσδοκίαν τῆς ἐσομένης περὶ αὐτοὺς ἐπανορθώσεως.
expectation of-the to-be-going-to-be for them redress

67.1 διόπερ ἅμα τῷ συλλεχθῆναι πάντας εἰς τὴν
wherefore at-the-same-time with-the to-be-gathered all to —
Σίκκαν, καὶ παραγενόμενον Ἄννωνα τὸν ὑπάρχοντα
Sicca and having-arrived Hanno the being
στρατηγὸν ἐν τῇ Λιβύῃ τότε τῶν Καρχηδονίων μὴ
general in — Libya then of-the Carthaginians not
οἷον τὰς ἐλπίδας καὶ τὰς ἐπαγγελίας ἐκπληροῦν, ἀλλὰ
only the hopes and the promises to-fulfill but
τοὐναντίον λέγοντα τὸ βάρος τῶν φόρων καὶ τὴν καθόλου
on-the-contrary speaking-of the weight of-the taxes and the general
στενοχωρίαν τῆς πόλεως ἐγχειρεῖν παραιτεῖσθαι μέρος τι
straitness of-the city to-attempt to-beg-off part some
τῶν ἐξ ὁμολόγου προσοφειλομένων ὀψωνίων,
of-the by agreement owed wages
67.2 εὐθέως διαφορὰ καὶ στάσις ἐγεννᾶτο καὶ συνδρομαὶ
straightway dispute and sedition arose and gatherings
συνεχεῖς ἐγίνοντο, ποτὲ μὲν κατὰ γένη, ποτὲ δ' ὁμοῦ
continuous happened at-times indeed by nations at-times and together
πάντων.
of-all
67.3 ὡς δ' ἂν μήθ' ὁμοεθνῶν μήθ' ὁμογλώττων ὑπαρχόντων,
as and — neither of-the-same-race nor of-the-same-tongue being
ἦν ἀμιξίας καὶ θορύβου καὶ τῆς λεγομένης τύρβης πλῆρες
was of-confusion and of-uproar and of-the called babel full
τὸ στρατόπεδον.
the army
67.4 Καρχηδόνιοι γὰρ ἀεὶ χρώμενοι ποικίλαις καὶ μισθοφορικαῖς
Carthaginians for always using varied and mercenary
δυνάμεσιν, πρὸς μὲν τὸ μὴ ταχέως συμφρονήσαντας
forces toward indeed the not quickly having-agreed

ἀπειθεῖν μηδὲ δυσκαταπλήκτους εἶναι τοῖς ἡγουμένοις ὀρθῶς
to-disobey nor hard-to-overawe to-be for-the commanders rightly
στοχάζονται, ποιοῦντες ἐκ πολλῶν γενῶν τὴν δύναμιν,
aim making from many races the force
πρὸς δὲ τὸ γενομένης ὀργῆς ἢ διαβολῆς ἢ στάσεως 67.5
toward but the having-arisen anger or slander or sedition
διδάξαι καὶ πραῦναι καὶ μεταθεῖναι τοὺς ἠγνοηκότας
to-instruct and to-soothe and to-change those having-been-mistaken
ὁλοσχερῶς ἀστοχοῦσιν.
utterly they-miss
οὐ γὰρ οἷον ἀνθρωπίνῃ χρῆσθαι κακίᾳ συμβαίνει τὰς 67.6
not for only human to-use wickedness it-happens the
τοιαύτας δυνάμεις, ὅταν ἅπαξ εἰς ὀργὴν καὶ διαβολὴν
such forces when once into anger and slander
ἐμπέσωσι πρός τινας, ἀλλ' ἀποθηριοῦσθαι τὸ τελευταῖον
they-fall against some but to-become-brutish the end
καὶ παραστατικὴν λαμβάνειν διάθεσιν.
and frenzied to-take condition
ὃ καὶ τότε συνέβη γενέσθαι περὶ αὐτούς· ἦσαν γὰρ 67.7
which also then happened to-come-about about them they-were for
οἱ μὲν Ἴβηρες, οἱ δὲ Κελτοί, τινὲς δὲ Λιγυστῖνοι καὶ
some indeed Iberians others and Celts some and Ligurians and
Βαλιαρεῖς, οὐκ ὀλίγοι δὲ μιξέλληνες, ὧν οἱ πλείους
Balearians not few and half-Greeks of-whom the most
αὐτόμολοι καὶ δοῦλοι· τὸ δὲ μέγιστον μέρος αὐτῶν ἦν Λίβυες.
deserters and slaves the and greatest part of-them was Libyans
διόπερ οὔτ' ἐκκλησιάσαι συναθροίσαντα πάντας ὁμοῦ 67.8
wherefore neither to-hold-an-assembly having-gathered all together
δυνατὸν ἦν οὔτ' ἄλλην οὐδεμίαν εὑρέσθαι πρὸς τοῦτο
possible was nor other any to-find for this
μηχανήν.
device

67.9 πῶς γὰρ οἷόν τε; τὸν μὲν γὰρ στρατηγὸν εἰδέναι
how for possible — the indeed for general to-know
τὰς ἑκάστων διαλέκτους ἀδύνατον· διὰ πλειόνων δ᾽
the of-each languages impossible through more and
ἑρμηνέων ἐκκλησιάζειν, ἅμα τετράκις καὶ πεντάκις
interpreters to-hold-assembly at-the-same-time four-times and five-times
περὶ ταὐτοῦ λέγοντα πράγματος, σχεδὸν ὡς εἰπεῖν ἔτι
about the-same speaking matter nearly as to-say still
τοῦ πρόσθεν ἀδυνατώτερον.
than-the former more-impossible

67.10 λοιπὸν ἦν διὰ τῶν ἡγεμόνων ποιεῖσθαι τὰς ἀξιώσεις καὶ
remaining was through the commanders to-make the requests and
παρακλήσεις· ὅπερ ἐπειρᾶτο τότε συνεχῶς ποιεῖν Ἄννων.
exhortations which tried then continually to-do Hanno

67.11 ἀκμὴν δὲ καὶ τούτους συνέβαινεν ἃ μὲν οὐκ αἰσθάνεσθαι
nevertheless and also these it-happened partly indeed not to-perceive
τῶν λεγομένων, ἃ δὲ καὶ συναινέσαντας ἐνίοτε
of-the-things said partly and also having-agreed sometimes
τῷ στρατηγῷ τἀναντία πρὸς τοὺς πολλοὺς ἀναγγέλλειν,
with-the general the-opposite to the many to-report
τοὺς μὲν δι᾽ ἄγνοιαν, τοὺς δὲ διὰ κακίαν· ἐξ ὧν
some indeed through ignorance others and through wickedness from which
ἦν ἀσαφείας, ἀπιστίας, ἀμιξίας ἅπαντα πλήρη.
was of-unclarity of-distrust of-confusion all-things full

67.12 πρὸς γὰρ τοῖς ἄλλοις ᾤοντο καὶ τοὺς Καρχηδονίους
besides for the other-things they-thought also the Carthaginians
ἐπίτηδες τοὺς μὲν εἰδότας στρατηγοὺς τὰς γεγενημένας
on-purpose the indeed knowing generals the having-happened
χρείας κατὰ Σικελίαν ἐξ αὐτῶν καὶ πεποιημένους σφίσι
services in Sicily of them and having-made to-them

τὰς ἐπαγγελίας οὐκ ἐξαποστέλλειν ὡς αὐτούς, τὸν δὲ
the promises not to-send to them the and
μηδενὶ τούτων παρηκολουθηκότα τοῦτον ἐκπεπομφέναι.
the unexpectedness and the daring of-the Illyrians were
ἐκπλαγεῖς· πεφρονηματισμένοι δ' ἐκ πολλοῦ χρόνου
astounded having-been-made-proud but from long time
καὶ καταπιστεύσαντες ταῖς ἰδίαις δυνάμεσιν κατὰ ποσὸν
and trusting in-the own forces to a-degree
εὐθαρσῶς εἶχον.
confidently were

3.4 τὸ μὲν οὖν πολὺ μέρος τῶν ὁπλιτῶν καὶ τῶν
the indeed therefore great part of-the hoplites and of-the
ἱππέων αὐτοῦ πρὸ τῆς στρατοπεδείας ἐν τοῖς ἐπιπέδοις
cavalry there before the camp in the plains
παρενέβαλλον, μέρει δέ τινι τῆς ἵππου καὶ τοῖς
they-drew-up with-part and some of-the horse and with-the
εὐζώνοις τοὺς ὑπερδεξίους καὶ πρὸ τοῦ χάρακος εὐφυῶς
light-armed the commanding and before the palisade favorably
κειμένους τόπους προκατελάμβανον.
lying places they-seized-first

3.5 οἱ δ' Ἰλλυριοὶ τοὺς μὲν ἐλαφροὺς ἐξ ἐφόδου
the and Illyrians the indeed light-troops at the-first-onset
προσπεσόντες τῷ τε πλήθει καὶ τῷ βάρει τῆς συντάξεως
having-fallen-upon by-the both number and the weight of-the formation
ἐξέωσαν, τοὺς δὲ μετὰ τούτων ἱππεῖς συγκινδυνεύοντας
drove-out those and with these cavalry sharing-the-danger
ἠνάγκασαν ἀποχωρῆσαι πρὸς τὰ βαρέα τῶν ὅπλων.
they-compelled to-withdraw to the heavy of-the arms

λοιπὸν ἐξ ὑπερδεξίου ποιούμενοι τὴν ἔφοδον ἐπὶ τοὺς ἐν τῷ 3.6
thereafter from higher-ground making the attack on those in the
πεδίῳ τεταγμένους ταχέως ἐτρέψαντο, συνεπιθεμένων τοῖς
plain drawn-up quickly they-routed attacking-together the
Αἰτωλοῖς ἅμα καὶ τῶν Μεδιωνίων ἐκ τῆς πόλεως.
Aetolians at-the-same-time also the Medionians from the city
καὶ πολλοὺς μὲν αὐτῶν ἀπέκτειναν, ἔτι δὲ πλείους 3.7
and many indeed of-them they-killed still and more
αἰχμαλώτους ἔλαβον· τῶν δ᾽ ὅπλων καὶ τῆς ἀποσκευῆς
captives took of-the and arms and of-the baggage
ἐγένοντο πάσης ἐγκρατεῖς.
they-became all masters
οἱ μὲν οὖν Ἰλλυριοὶ πράξαντες τὸ συνταχθὲν ὑπὸ τοῦ 3.8
the indeed therefore Illyrians having-done the ordered by the
βασιλέως καὶ διακομίσαντες τὴν ἀποσκευὴν καὶ τὴν ἄλλην
king and having-carried-over the baggage and the other
ὠφέλειαν ἐπὶ τοὺς λέμβους εὐθέως ἀνήγοντο, ποιούμενοι
booty to the galleys straightway put-to-sea making
τὸν πλοῦν εἰς τὴν οἰκείαν.
the voyage to the home-country
οἱ δὲ Μεδιώνιοι τετευχότες ἀνελπίστου σωτηρίας, 4.1
the and Medionians having-obtained unhoped-for safety
ἀθροισθέντες εἰς τὴν ἐκκλησίαν ἐβουλεύοντο περί τε τῶν
having-gathered into the assembly deliberated about both the
ἄλλων καὶ περὶ τῆς τῶν ὅπλων ἐπιγραφῆς.
other-things and about the of-the arms inscription
ἔδοξεν οὖν αὐτοῖς κοινὴν ποιήσειν τὴν ἐπιγραφὴν ἀπό 4.2
it-seemed therefore to-them common to-be-going-to-make the inscription from
τε τοῦ τὴν ἀρχὴν τῶν Αἰτωλῶν ἔχοντος καὶ τῶν εἰς τὸ
both the the office of-the Aetolians holding and those for the
μέλλον προπορευομένων κατὰ τὸ τῶν Αἰτωλῶν δόγμα,
future being-candidates according-to the of-the Aetolians decree

4.3 τῆς τύχης ὥσπερ ἐπίτηδες καὶ τοῖς ἄλλοις ἀνθρώποις
the fortune as-if on-purpose also to-the other men
ἐπὶ τῶν ἐκείνοις συμβαινόντων ἐνδεικνυμένης τὴν αὑτῆς
in the to-them happening-things displaying the her-own
δύναμιν.
power

4.4 ἃ γὰρ ὑπὸ τῶν ἐχθρῶν αὐτοὶ προσεδόκων ὅσον
what for by the enemies they-themselves expected as-good-as
ἤδη πείσεσθαι, ταῦτα πράττειν αὐτοῖς ἐκείνοις
already to-be-going-to-suffer these-things to-do to-them themselves
παρέδωκεν ἐν πάνυ βραχεῖ χρόνῳ κατὰ τῶν πολεμίων.
she-gave in very short time against the enemy

4.5 Αἰτωλοὶ δὲ τῇ παραδόξῳ χρησάμενοι συμφορᾷ πάντας
Aetolians and the unexpected having-experienced calamity all
ἐδίδαξαν μηδέποτε βουλεύεσθαι περὶ τοῦ μέλλοντος ὡς
taught never to-deliberate about the future as
ἤδη γεγονότος, μηδὲ προκατελπίζειν βεβαιουμένους ὑπὲρ
already having-happened nor to-hope-beforehand being-confident about
ὧν ἀκμὴν ἐνδεχόμενόν ἐστιν ἄλλως γενέσθαι, νέμειν
things-which still possible it-is otherwise to-happen to-assign
δὲ μερίδα τῷ παραδόξῳ πανταχῇ μὲν ἀνθρώπους ὄντας,
and a-share to-the unexpected everywhere indeed men being
μάλιστα δ' ἐν τοῖς πολεμικοῖς.
most and in the warlike-things

4.6 ὁ δὲ βασιλεὺς Ἄγρων, ἐπεὶ κατέπλευσαν οἱ λέμβοι,
the and king Agron when sailed-back the galleys
διακούσας τῶν ἡγεμόνων τὰ κατὰ τὸν κίνδυνον καὶ
having-heard-from the leaders the in the battle and
περιχαρ�ὴς γενόμενος ἐπὶ τῷ δοκεῖν Αἰτωλοὺς τοὺς μέγιστον
overjoyed having-become at the to-seem Aetolians those greatest
ἔχοντας τὸ φρόνημα νενικηκέναι, πρὸς μέθας καί τινας
having the pride to-have-conquered to drinking-bouts and some

τοιαύτας ἄλλας εὐωχίας τραπεὶς ἐνέπεσεν εἰς πλευρῖτιν·
such other feastings having-turned fell into pleurisy
ἐκ δὲ ταύτης ἐν ὀλίγαις ἡμέραις μετήλλαξε τὸν βίον.
from and this in few days he-ended the life
τὴν δὲ βασιλείαν ἡ γυνὴ Τεύτα διαδεξαμένη τὸν κατὰ 4.7
the and kingdom the wife Teuta having-succeeded-to the in
μέρος χειρισμὸν τῶν πραγμάτων ἐποιεῖτο διὰ τῆς τῶν
detail management of-the affairs made through the of-the
φίλων πίστεως.
friends faithfulness
χρωμένη δὲ λογισμοῖς γυναικείοις καὶ πρὸς αὐτὸ τὸ 4.8
using and reasonings womanish and to the-very —
γεγονὸς εὐτύχημα μόνον ἀποβλέπουσα, τῶν δ' ἐκτὸς
having-happened success only looking of-the and outside
οὐδὲν περισκεπτομένη πρῶτον μὲν συνεχώρησε τοῖς κατ'
nothing considering first indeed she-allowed to-those on
ἰδίαν πλέουσι λῄζεσθαι τοὺς ἐντυγχάνοντας,
own-account sailing to-plunder those meeting-(them)
δεύτερον δ' ἀθροίσασα στόλον καὶ δύναμιν οὐκ ἐλάττω 4.9
second and having-gathered a-fleet and force not less
τῆς πρότερον ἐξέπεμψε, πᾶσαν παραλίαν ἀποδείξασα
than-the former she-sent-out all coast having-declared
πολεμίαν τοῖς ἡγουμένοις.
hostile to-the commanders
οἱ δ' ἐξαποσταλέντες τὴν μὲν πρώτην ἐπιβολὴν ἔσχον 5.1
those and sent-out the indeed first attempt made
ἐπὶ τὴν Ἠλείαν καὶ τὴν Μεσσηνίαν· ταύτας γὰρ ἀεὶ τὰς
on — Elis and — Messenia these for always the
χώρας Ἰλλυριοὶ πορθοῦντες διετέλουν.
countries Illyrians plundering continued

5.2 διὰ γὰρ τὸ μῆκος τῆς παραλίας καὶ διὰ τὸ
because-of for the length of-the coastline and because-of the
μεσογαίους εἶναι τὰς δυναστευούσας ἐν αὐταῖς πόλεις
inland to-be the dominant in them cities
μακραὶ καὶ βραδεῖαι λίαν ἐγίνοντο τοῖς προειρημένοις αἱ
long and slow very became for-the aforementioned the
παραβοήθειαι πρὸς τὰς ἀποβάσεις τῶν Ἰλλυριῶν· ὅθεν
relief-expeditions against the landings of-the Illyrians whence
ἀδεῶς ἐπέτρεχον καὶ κατέσυρον ἀεὶ ταύτας τὰς χώρας.
fearlessly they-overran and plundered always these the countries
5.3 οὐ μὴν ἀλλὰ τότε γενόμενοι τῆς Ἠπείρου κατὰ Φοινίκην
not however but then having-been — of-Epirus at Phoenice
προσέσχον ἐπισιτισμοῦ χάριν.
they-put-in of-provisioning for-the-sake
5.4 συμμίξαντες δὲ τῶν Γαλατῶν τισιν, οἳ μισθοφοροῦντες
having-met and of-the Gauls some who serving-for-pay
παρὰ τοῖς Ἠπειρώταις διέτριβον ἐν τῇ Φοινίκῃ, τὸ πλῆθος
with the Epirotes were-staying in — Phoenice the number
ὄντες εἰς ὀκτακοσίους, καὶ κοινολογηθέντες τούτοις περὶ
being about eight-hundred and having-conferred with-these about
προδοσίας τῆς πόλεως ἐξέβησαν, συγκαταθεμένων σφίσι
betrayal of-the city they-landed having-agreed with-them
τῶν προειρημένων, καὶ τῆς πόλεως ἐξ ἐφόδου καὶ
the aforementioned and the city at the-first-onset and
τῶν ἐν αὐτῇ κύριοι κατέστησαν, συνεργησάντων ἔσωθεν
of-those in it masters they-became cooperating from-within
αὐτοῖς τῶν Γαλατῶν.
with-them the Gauls
5.5 οἱ δ' Ἠπειρῶται πυθόμενοι τὸ γεγονὸς ἐβοήθουν
the and Epirotes having-learned the having-happened came-to-help
πανδημεὶ μετὰ σπουδῆς. παραγενόμενοι δὲ πρὸς τὴν
in-full-force with haste having-arrived and at —

Φοινίκην καὶ προβαλόμενοι τὸν παρὰ τῇ πόλει ῥέοντα
Phoenice and having-put-before-them the by the city flowing
ποταμὸν ἐστρατοπέδευσαν, τῆς ἐπ᾽ αὐτῷ γεφύρας
river they-encamped of-the over it bridge
ἀνασπάσαντες τὰς σανίδας ἀσφαλείας χάριν.
having-torn-up the planks of-safety for-the-sake
προσαγγελθέντος δ᾽ αὐτοῖς Σκερδιλαΐδαν ἔχοντα 5.6
having-been-reported and to-them Scerdilaidas having
πεντακισχιλίους Ἰλλυριοὺς παραγίνεσθαι κατὰ γῆν διὰ
five-thousand Illyrians to-be-coming by land through
τῶν παρ᾽ Ἀντιγόνειαν στενῶν, μερίσαντες αὑτῶν τινας
the by Antigonea narrows having-divided of-themselves some
ἐξαπέστειλαν παραφυλάξοντας τὴν Ἀντιγόνειαν· αὐτοὶ
they-sent-out to-be-going-to-guard — Antigonea they-themselves
δὲ τά τε λοιπὰ ῥᾳθύμως διῆγον, ἀπολαύοντες τῶν
and the both rest carelessly passed-time enjoying the-things
ἐκ τῆς χώρας ἀνέδην, τῶν τε κατὰ τὰς φυλακὰς καὶ
from the country freely of-the both on the watches and
προκοιτίας ὠλιγώρουν.
outposts they-neglected
οἱ δ᾽ Ἰλλυριοὶ συνέντες τὸν μερισμὸν αὐτῶν καὶ τὴν 5.7
the and Illyrians having-understood the division their and the
λοιπὴν ῥᾳθυμίαν ἐκπορεύονται νυκτός· καὶ τῇ γεφύρᾳ
other carelessness set-out by-night and on-the bridge
σανίδας ἐπιβαλόντες τόν τε ποταμὸν ἀσφαλῶς διέβησαν καὶ
planks having-laid the both river safely crossed and
λαβόντες ὀχυρὸν τόπον ἔμειναν τὸ λοιπὸν μέρος τῆς νυκτός.
having-taken a-strong place remained the rest part of-the night
ἐπιγενομένης δὲ τῆς ἡμέρας, καὶ παραταξαμένων 5.8
having-come and the day and having-drawn-up
ἀμφοτέρων πρὸ τῆς πόλεως, συνέβη λειφθῆναι τοὺς
both before the city it-happened to-be-defeated the

Ἠπειρώτας, καὶ πολλοὺς μὲν αὐτῶν πεσεῖν, ἔτι δὲ πλείους
Epirotes and many indeed of-them to-fall still and more
ἁλῶναι, τοὺς δὲ λοιποὺς διαφυγεῖν ὡς ἐπ᾽ Ἀτιντάνων.
to-be-captured the and rest to-escape as toward Atintanians

6.1 οὗτοι μὲν οὖν τοιούτοις περιπεσόντες ἀτυχήμασι καὶ
these indeed therefore into-such having-fallen misfortunes and
πάσας ἀπολέσαντες τὰς ἐν αὑτοῖς ἐλπίδας ἐπρέσβευον
all having-lost the in themselves hopes sent-envoys
πρὸς τοὺς Αἰτωλοὺς καὶ τὸ τῶν Ἀχαιῶν ἔθνος, δεόμενοι
to the Aetolians and the of-the Achaeans nation asking
μεθ᾽ ἱκετηρίας σφίσι βοηθεῖν.
with suppliant-branch them to-help

6.2 οἱ δὲ κατελεήσαντες τὰς συμφορὰς αὐτῶν ὑπήκουσαν καὶ
they and having-pitied the misfortunes their complied and
μετὰ ταῦτα παραβοηθοῦντες ἦκον εἰς Ἑλίκρανον.
after these-things coming-to-help came to Helicranum

6.3 οἱ δὲ τὴν Φοινίκην κατασχόντες τὸ μὲν πρῶτον,
those and — Phoenice having-occupied the indeed first
παραγενόμενοι μετὰ Σκερδιλαΐδου πρὸς τὸ χωρίον,
having-arrived with Scerdilaidas at the place
παρεστρατοπέδευσαν τοῖς βεβοηθηκόσι, βουλόμενοι
encamped-beside those having-come-to-help wishing
συμβαλεῖν.
to-engage

6.4 δυσχρηστούμενοι δὲ διὰ τὰς δυσχωρίας τῶν τόπων,
being-hampered and because-of the roughness of-the places
ἅμα δὲ καὶ προσπεσόντων παρὰ τῆς Τεύτας
at-the-same-time and also having-arrived from — Teuta
γραμμάτων, δι᾽ ὧν ᾤετο δεῖν αὐτοὺς τὴν ταχίστην
letters through which she-thought it-needful them the quickest

εἰς οἶκον ἀναχωρεῖν διὰ τὸ τινὰς τῶν Ἰλλυριῶν
to home to-withdraw because-of the some of-the Illyrians
ἀφεστηκέναι πρὸς τοὺς Δαρδανεῖς,
to-have-revolted to the Dardanians
οὕτω λεηλατήσαντες τὴν Ἤπειρον ἀνοχὰς ἐποιήσαντο 6.5
so having-plundered — Epirus a-truce they-made
πρὸς τοὺς Ἠπειρώτας.
with the Epirotes
ἐν αἷς τὰ μὲν ἐλεύθερα σώματα καὶ τὴν πόλιν 6.6
in which the indeed free persons and the city
ἀπολυτρώσαντες αὐτοῖς, τὰ δὲ δουλικὰ καὶ τὴν λοιπὴν
having-released-for-ransom to-them the and slave and the other
σκευὴν ἀναλαβόντες εἰς τοὺς λέμβους, οἱ μὲν ἀπέπλευσαν,
gear having-taken-up into the galleys some indeed sailed-away
οἱ δὲ περὶ τὸν Σκερδιλαΐδαν πεζῇ πάλιν ἀνεχώρησαν
those and about — Scerdilaidas on-foot again withdrew
διὰ τῶν παρὰ τὴν Ἀντιγόνειαν στενῶν,
through the by — Antigonea narrows
οὐ μικρὰν οὐδὲ τὴν τυχοῦσαν κατάπληξιν καὶ φόβον 6.7
not small nor the ordinary consternation and fear
ἐνεργασάμενοι τοῖς τὰς παραλίας οἰκοῦσι τῶν Ἑλλήνων.
having-produced in-those the coasts inhabiting of-the Greeks
ἕκαστοι γὰρ θεωροῦντες τὴν ὀχυρωτάτην ἅμα καὶ 6.8
each for seeing the strongest at-once and
δυνατωτάτην πόλιν τῶν ἐν Ἠπείρῳ παραλόγως οὕτως
most-powerful city of-those in Epirus unexpectedly thus
ἐξηνδραποδισμένην οὐκέτι περὶ τῶν ἀπὸ τῆς χώρας
enslaved no-longer about the-things from the country
ἠγωνίων, καθάπερ ἐν τοῖς ἔμπροσθεν χρόνοις, ἀλλὰ περὶ
were-anxious as in the former times but about
σφῶν αὐτῶν καὶ τῶν πόλεων.
them selves and the cities

6.9 οἱ δ' Ἠπειρῶται παραδόξως διασεσωσμένοι τοσοῦτον
the and Epirotes unexpectedly having-been-saved so-far
ἀπεῖχον τοῦ πειράζειν ἀμύνεσθαι τοὺς ἠδικηκότας
were-from the to-try to-defend-themselves-against those having-wronged-(them)
ἢ χάριν ἀποδιδόναι τοῖς βοηθήσασιν ὥστε τοὐναντίον
or thanks to-return to-those having-helped that the-contrary
διαπρεσβευσάμενοι πρὸς τὴν Τεύταν συμμαχίαν ἔθεντο
having-sent-envoys to — Teuta alliance they-made
μετ' Ἀκαρνάνων πρὸς τοὺς Ἰλλυριούς,
with Acarnanians against the Illyrians
6.10 καθ' ἣν ἐκείνοις μὲν κατὰ τοὺς ἑξῆς καιροὺς
according-to which to-those indeed in the following times
συνήργουν, τοῖς δ' Ἀχαιοῖς καὶ τοῖς Αἰτωλοῖς ἀντέπραττον.
they-cooperated the and Achaeans and the Aetolians they-opposed
6.11 ἐξ ὧν ἐγένοντο καταφανεῖς ἀκρίτως μὲν κεχρημένοι τότε
from which they-became manifest indiscriminately indeed having-treated then
τοῖς εὐεργέταις, ἀφρόνως δ' ἐξ ἀρχῆς βεβουλευμένοι
the benefactors foolishly and from the-beginning having-deliberated
περὶ τῶν καθ' αὑτοὺς πραγμάτων.
about the concerning themselves affairs
7.1 τὸ μὲν γὰρ ἀνθρώπους ὄντας παραλόγως περιπεσεῖν τινι
the indeed for men being unexpectedly to-fall-into some
τῶν δεινῶν οὐ τῶν παθόντων, τῆς τύχης δὲ καὶ τῶν
of-the terrible-things not of-those having-suffered of-the fortune but and of-those
πραξάντων ἐστὶν ἔγκλημα,
having-done is a-charge
7.2 τὸ δ' ἀκρίτως καὶ προφανῶς περιβαλεῖν αὑτοὺς ταῖς
the and indiscriminately and openly to-throw themselves into-the
μεγίσταις συμφοραῖς ὁμολογούμενόν ἐστι τῶν πασχόντων
greatest calamities acknowledged is of-those suffering
ἁμάρτημα.
error

διὸ καὶ τοῖς μὲν ἐκ τύχης πταίουσιν ἔλεος ἕπεται 7.3
wherefore also to-those indeed from fortune stumbling pity follows
μετὰ συγγνώμης καὶ ἐπικουρία, τοῖς δὲ διὰ τὴν
with pardon and help to-those and because-of the
αὑτῶν ἀβουλίαν ὄνειδος καὶ ἐπιτίμησις συνεξακολουθεῖ
their-own folly reproach and censure follows
παρὰ τοῖς εὖ φρονοῦσιν.
among those well thinking
ἃ δὴ καὶ τότε παρὰ τῶν Ἑλλήνων εἰκότως ἂν τοῖς 7.4
which indeed also then from the Greeks fittingly — by-the
Ἠπειρώταις ἀπηντήθη.
Epirotes would-have-been-dealt-out
πρῶτον γὰρ τίς οὐκ ἂν τὴν κοινὴν περὶ Γαλατῶν φήμην 7.5
first for who not — the common about Gauls report
ὑπιδόμενος εὐλαβηθείη τούτοις ἐγχειρίσαι πόλιν εὐδαίμονα
having-suspected would-beware to-these to-entrust a-city prosperous
καὶ πολλὰς ἀφορμὰς ἔχουσαν εἰς παρασπόνδησιν;
and many opportunities having for treachery
δεύτερον τίς οὐκ ἂν ἐφυλάξατο τὴν αὐτοῦ τοῦ 7.6
second who not — would-have-guarded-against the of-the-very —
συστήματος ἐκείνου προαίρεσιν; οἵ γε τὴν μὲν ἀρχὴν
body that disposition who at-least the indeed first
ἐξέπεσον ἐκ τῆς ἰδίας, συνδραμόντων ἐπ᾽ αὐτοὺς
were-driven-out from the own-country having-run-together against them
τῶν ὁμοεθνῶν διὰ τὸ παρασπονδῆσαι τοὺς αὑτῶν
the kinsmen because-of the to-have-betrayed the their-own
οἰκείους καὶ συγγενεῖς·
relatives and kindred
ὑποδεξαμένων γε μὴν αὐτοὺς Καρχηδονίων διὰ τὸ 7.7
having-received at-least indeed them Carthaginians because-of the
κατεπείγεσθαι πολέμῳ, τὸ μὲν πρῶτον γενομένης τινὸς
to-be-hard-pressed by-war the indeed first having-arisen some

ἀντιρρήσεως τοῖς στρατιώταις πρὸς τοὺς στρατηγοὺς
dispute for-the soldiers with the generals
ὑπὲρ ὀψωνίων ἐξ αὐτῆς ἐπεβάλοντο διαρπάζειν τὴν τῶν
about pay from it they-undertook to-plunder the of-the
Ἀκραγαντίνων πόλιν, φυλακῆς χάριν εἰσαχθέντες εἰς
Agrigentines city of-garrison for-the-sake having-been-brought-in into
αὐτήν, ὄντες τότε πλείους τῶν τρισχιλίων·
it being then more than-the three-thousand

7.8 μετὰ δὲ ταῦτα παρεισαγαγόντων αὐτοὺς πάλιν εἰς
after and these-things having-introduced them again into
Ἔρυκα τῆς αὐτῆς χρείας ἕνεκεν, πολιορκούντων τὴν
Eryx of-the same service for-the-sake besieging the
πόλιν Ῥωμαίων, ἐπεχείρησαν μὲν καὶ τὴν πόλιν καὶ
city Romans they-attempted indeed both the city and
τοὺς συμπολιορκουμένους προδοῦναι·
those besieged-with-them to-betray

7.9 τῆς δὲ πράξεως ταύτης ἀποτυχόντες ηὐτομόλησαν πρὸς
the and deed this having-failed-in they-deserted to
τοὺς πολεμίους· παρ᾽ οἷς πιστευθέντες πάλιν ἐσύλησαν
the enemies with whom having-been-trusted again they-plundered
τὸ τῆς Ἀφροδίτης τῆς Ἐρυκίνης ἱερόν.
the — of-Aphrodite the Erycine temple

7.10 διὸ σαφῶς ἐπεγνωκότες Ῥωμαῖοι τὴν ἀσέβειαν αὐτῶν
wherefore clearly having-recognized Romans the impiety their
ἅμα τῷ διαλύσασθαι τὸν πρὸς Καρχηδονίους
at-the-same-time with-the to-end the against Carthaginians
πόλεμον οὐδὲν ἐποιήσαντο προυργιαίτερον τοῦ
war nothing they-made more-important than-the
παροπλίσαντας αὐτοὺς ἐμβαλεῖν εἰς πλοῖα καὶ τῆς Ἰταλίας
having-disarmed them to-put into boats and — of-Italy
πάσης ἐξορίστους καταστῆσαι.
all exiles to-make

οὓς Ἠπειρῶται τῆς δημοκρατίας καὶ τῶν νόμων 7.11
whom Epirotes of-the democracy and of-the laws
φύλακας ποιησάμενοι καὶ τὴν εὐδαιμονεστάτην πόλιν
guardians having-made and the most-prosperous city
ἐγχειρίσαντες, πῶς οὐκ ἂν εἰκότως φανείησαν αὐτοὶ
having-entrusted how not — fittingly would-appear they-themselves
τῶν συμπτωμάτων αὑτοῖς αἴτιοι γεγονότες;
of-the misfortunes for-themselves causes having-become
περὶ μὲν οὖν τῆς Ἠπειρωτῶν ἀγνοίας καὶ περὶ τοῦ 7.12
about indeed therefore the of-Epirotes ignorance and about the
μηδέποτε δεῖν τοὺς εὖ φρονοῦντας ἰσχυροτέραν
never to-be-needful those well thinking stronger
εἰσάγεσθαι φυλακὴν ἄλλως τε καὶ βαρβάρων, ἐπὶ
to-bring-in garrison otherwise both and of-barbarians to
τοσοῦτον ἔκρινον ποιήσασθαι μνήμην.
so-much I-decided to-make mention
οἱ δ' Ἰλλυριοὶ καὶ κατὰ τοὺς ἀνωτέρω μὲν χρόνους 8.1
the and Illyrians also in the earlier indeed times
συνεχῶς ἠδίκουν τοὺς πλοϊζομένους ἀπ' Ἰταλίας·
continually wronged those sailing from Italy
καθ' οὓς δὲ καιροὺς περὶ τὴν Φοινίκην διέτριβον, καὶ 8.2
at which and times about — Phoenice they-stayed also
πλείους ἀπὸ τοῦ στόλου χωριζόμενοι πολλοὺς τῶν Ἰταλικῶν
many from the fleet separating many of-the Italian
ἐμπόρων ἔσθ' οὓς μὲν ἐσύλησαν, οὓς δ' ἀπέσφαξαν,
merchants some whom indeed they-robbed whom and slaughtered
οὐκ ὀλίγους δὲ καὶ ζωγρίᾳ τῶν ἁλισκομένων ἀνῆγον.
not few and also alive of-those captured they-carried-off
οἱ δὲ Ῥωμαῖοι παρακούοντες τὸν πρὸ τοῦ χρόνον 8.3
the and Romans disregarding the before the time
τῶν ἐγκαλούντων τοῖς Ἰλλυριοῖς, τότε καὶ πλειόνων
those complaining against-the Illyrians then also more

ἐπελθόντων ἐπὶ τὴν σύγκλητον, κατέστησαν πρεσβευτὰς
having-come to the senate appointed envoys
εἰς τὴν Ἰλλυρίδα τοὺς ἐπίσκεψιν ποιησομένους περὶ τῶν
to — Illyria those inquiry to-be-going-to-make about the
προειρημένων Γάϊον καὶ Λεύκιον Κορογκανίους.
aforementioned Gaius and Lucius Coruncanius

8.4 ἡ δὲ Τεύτα, καταπλευσάντων πρὸς αὐτὴν τῶν ἐκ τῆς
— and Teuta having-sailed-back to her the from —
Ἠπείρου λέμβων, καταπλαγεῖσα τὸ πλῆθος καὶ τὸ κάλλος
Epirus galleys astounded-at the quantity and the beauty
τῆς ἀγομένης κατασκευῆς — πολὺ γὰρ ἡ Φοινίκη διέφερε
of-the being-brought goods much for — Phoenice surpassed
τότε τῶν κατὰ τὴν Ἤπειρον πόλεων εὐδαιμονίᾳ —
then the in — Epirus cities in-prosperity
διπλασίως ἐπερρώσθη πρὸς τὴν κατὰ τῶν Ἑλλήνων ἀδικίαν.
doubly was-strengthened for the against the Greeks wrongdoing

8.5 οὐ μὴν ἀλλὰ τότε μὲν ἐπέσχεν διὰ τὰς ἐγχωρίους
not however but then indeed she-held-back because-of the domestic
ταραχάς, καταστησαμένη δὲ ταχέως τὰ κατὰ τοὺς
disturbances having-settled and quickly the-things concerning the
ἀποστάντας Ἰλλυριοὺς ἐπολιόρκει τὴν Ἴσσαν διὰ τὸ
having-revolted Illyrians she-besieged — Issa because-of the
ταύτην ἔτι μόνην ἀπειθεῖν αὐτῇ.
it still alone to-disobey her

8.6 κατὰ δὲ τὸν καιρὸν τοῦτον κατέπλευσαν οἱ τῶν Ῥωμαίων
at and the time this sailed-in the of-the Romans
πρέσβεις· καὶ δοθέντος αὐτοῖς καιροῦ πρὸς ἔντευξιν
envoys and having-been-given to-them occasion for audience
διελέγοντο περὶ τῶν εἰς αὐτοὺς γεγονότων ἀδικημάτων.
they-spoke about the to them having-happened wrongs

ἡ δὲ Τεύτα καθόλου μὲν παρ᾽ ὅλην τὴν κοινολογίαν 8.7
— *and Teuta generally indeed throughout whole the conference*
ἀγερώχως καὶ λίαν ὑπερηφάνως αὐτῶν διήκουεν.
arrogantly and very haughtily them listened-to
καταπαυσάντων δὲ τὸν λόγον, κοινῇ μὲν ἔφη πειρᾶσθαι 8.8
having-ended and the speech publicly indeed she-said to-try
φροντίζειν ἵνα μηδὲν ἀδίκημα γίνηται Ῥωμαίοις ἐξ
to-take-care that no wrong happen to-Romans from
Ἰλλυριῶν· ἰδίᾳ γε μὴν οὐ νόμιμον εἶναι τοῖς βασιλεῦσι
Illyrians privately at-least indeed not lawful to-be for-the kings
κωλύειν Ἰλλυριοῖς τὰς κατὰ θάλατταν ὠφελείας.
to-prevent for-Illyrians the at sea gains
ὁ δὲ νεώτερος τῶν πρεσβευτῶν δυσχεράνας ἐπὶ τοῖς 8.9
the and younger of-the envoys displeased at the
εἰρημένοις ἐχρήσατο παρρησίᾳ καθηκούσῃ μέν, οὐδαμῶς
things-said used frankness proper indeed in-no-way
δὲ πρὸς καιρόν.
but to the-occasion
εἶπεν γὰρ ὅτι Ῥωμαίοις μέν, ὦ Τεύτα, κάλλιστον ἔθος 8.10
he-said for that for-Romans indeed O Teuta finest custom
ἐστὶ τὰ κατ᾽ ἰδίαν ἀδικήματα κοινῇ μεταπορεύεσθαι καὶ
is the in private wrongs publicly to-go-after and
βοηθεῖν τοῖς ἀδικουμένοις·
to-help those being-wronged
πειρασόμεθα δὴ θεοῦ βουλομένου σφόδρα καὶ ταχέως 8.11
we-shall-try indeed god willing very and quickly
ἀναγκάσαι σε τὰ βασιλικὰ νόμιμα διορθώσασθαι πρὸς
to-compel you the royal customs to-correct toward
Ἰλλυριούς.
Illyrians

8.12 ἡ δὲ γυναικοθύμως καὶ ἀλογίστως δεξαμένη τὴν
she and womanishly and unreasoningly having-received the
παρρησίαν ἐπὶ τοσοῦτον ἐξωργίσθη πρὸς τὸ ῥηθὲν
frankness to so-far was-enraged at the thing-said
ὡς ὀλιγωρήσασα τῶν παρ᾽ ἀνθρώποις ὡρισμένων
that having-disregarded the among men defined
δικαίων ἀποπλέουσιν αὐτοῖς ἐπαποστεῖλαί τινας τὸν
rights sailing-away them to-send-after some the
παρρησιασάμενον τῶν πρέσβεων ἀποκτεῖναι.
having-spoken-frankly of-the envoys to-kill

8.13 προσπεσόντος δὲ τοῦ γεγονότος εἰς τὴν Ῥώμην,
having-been-reported and the having-happened to — Rome
διοργισθέντες ἐπὶ τῇ παρανομίᾳ τῆς γυναικὸς εὐθέως περὶ
furious at the lawlessness of-the woman straightway about
παρασκευὴν ἐγίνοντο καὶ στρατόπεδα κατέγραφον καὶ
preparation they-were and armies enrolled and
στόλον συνήθροιζον.
a-fleet gathered

Teuta's galleys fail to seize Epidamnus by a ruse and besiege Corcyra; the ten Achaean ships are beaten off Paxi, and Corcyra takes a garrison under Demetrius of Pharos. The Roman consuls arrive; Demetrius changes sides, Corcyra, Apollonia, Epidamnus, and Issa come into Roman protection, and Teuta flees. She yields, pays tribute, gives up most of Illyria, and agrees not to sail beyond Lissus with more than two unarmed galleys. Roman envoys explain all to the Greeks, Corinth and Athens included. In Spain Hasdrubal founds New Carthage, and Rome, fearing the Celts, makes the Ebro treaty with him before turning on them.

ἡ δὲ Τεύτα, τῆς ὥρας ἐπιγενομένης, ἐπισκευάσασα 9.1
— *and Teuta the season having-come having-fitted-out*
λέμβους πλείους τῶν πρότερον ἐξαπέστειλε πάλιν εἰς
galleys more than-the earlier sent-out again to
τοὺς κατὰ τὴν Ἑλλάδα τόπους.
the in — Greece places
ὧν οἱ μὲν διὰ πόρου τὸν πλοῦν ἐπὶ τὴν Κέρκυραν 9.2
of-which some indeed through strait the voyage to — Corcyra
ἐποιοῦντο, μέρος δέ τι προσέσχε τὸν τῶν Ἐπιδαμνίων
made part and some put-in-at the of-the Epidamnians
λιμένα, λόγῳ μὲν ὑδρείας καὶ ἐπισιτισμοῦ χάριν, ἔργῳ
harbor in-word indeed of-watering and provisioning for-the-sake in-fact
δ' ἐπιβουλῆς καὶ πράξεως ἐπὶ τὴν πόλιν.
and of-plot and action against the city
τῶν δ' Ἐπιδαμνίων ἀκάκως ἅμα καὶ ῥᾳθύμως αὐτοὺς 9.3
the and Epidamnians guilelessly at-once and carelessly them
παραδεξαμένων, εἰσελθόντες ἐν αὐτοῖς τοῖς περιζώμασιν
having-received having-entered in the-very — loincloths
ὡς ὑδρευσόμενοι, μαχαίρας ἔχοντες ἐν τοῖς κεραμίοις,
as to-be-going-to-fetch-water swords having in the jars

οὕτως κατασφάξαντες τοὺς φυλάττοντας τὴν πύλην
so having-slaughtered those guarding the gate
ταχέως ἐγκρατεῖς ἐγένοντο τοῦ πυλῶνος.
quickly masters became of-the gateway

9.4 ἐπιγενομένης δὲ κατὰ τὸ συντεταγμένον ἐνεργῶς τῆς
having-come and according-to the arranged energetically the
ἀπὸ τῶν πλοίων βοηθείας, παραδεξάμενοι τούτους ῥᾳδίως
from the ships help having-received these easily
κατεῖχον τὰ πλεῖστα τῶν τειχῶν.
they-held the most of-the walls

9.5 τῶν δ' ἐκ τῆς πόλεως ἀπαρασκεύως μὲν διὰ τὸ
of-those and from the city unprepared indeed because-of the
παράδοξον, ἐκθύμως δὲ βοηθούντων καὶ διαγωνιζομένων,
unexpectedness spiritedly and helping and fighting-it-out
συνέβη τοὺς Ἰλλυριοὺς ἐπὶ πολὺν χρόνον ἀντιποιησαμένους
it-happened the Illyrians for long time having-contended
τέλος ἐκπεσεῖν ἐκ τῆς πόλεως.
at-last to-be-driven-out from the city

9.6 Ἐπιδάμνιοι μὲν οὖν ἐν ταύτῃ τῇ πράξει διὰ μὲν τὴν
Epidamnians indeed therefore in this the action because-of indeed the
ὀλιγωρίαν ἐκινδύνευσαν ἀποβαλεῖν τὴν πατρίδα, διὰ
negligence ran-the-risk to-lose the fatherland because-of
δὲ τὴν εὐψυχίαν ἀβλαβῶς ἐπαιδεύθησαν πρὸς τὸ μέλλον.
and the courage without-harm were-taught for the future

9.7 τῶν δ' Ἰλλυριῶν οἱ προεστῶτες κατὰ σπουδὴν ἀναχθέντες
of-the and Illyrians the leaders in haste having-put-to-sea
καὶ συνάψαντες τοῖς προπλέουσι κατῆραν εἰς τὴν
and having-joined those sailing-ahead put-in to —
Κέρκυραν· καὶ ποιησάμενοι καταπληκτικὴν τὴν ἀπόβασιν
Corcyra and having-made terrifying the landing
ἐνεχείρησαν πολιορκεῖν τὴν πόλιν.
undertook to-besiege the city

ὧν συμβαινόντων οἱ Κερκυραῖοι δυσχρηστούμενοι καὶ 9.8
which happening the Corcyraeans being-hard-pressed and
δυσελπίστως διακείμενοι τοῖς ὅλοις ἐπρεσβεύοντο πρός
despairingly disposed in-the whole sent-envoys to
τε τοὺς Ἀχαιοὺς καὶ τοὺς Αἰτωλούς, ἅμα δὲ τούτοις
both the Achaeans and the Aetolians together and with-these
Ἀπολλωνιᾶται καὶ Ἐπιδάμνιοι, δεόμενοι σφίσι βοηθεῖν
Apolloniates and Epidamnians asking them to-help
κατὰ σπουδὴν καὶ μὴ περιδεῖν σφᾶς αὐτοὺς ἀναστάτους
in haste and not to-overlook them selves uprooted
γενομένους ὑπὸ τῶν Ἰλλυριῶν.
having-become by the Illyrians
οἱ δὲ διακούσαντες τῶν πρέσβεων καὶ προσδεξάμενοι τοὺς 9.9
they and having-heard the envoys and having-accepted the
λόγους ἐπλήρωσαν κοινῇ τὰς τῶν Ἀχαιῶν δέκα ναῦς
words manned in-common the of-the Achaeans ten ships
καταφράκτους, καταρτίσαντες δ' ἐν ὀλίγαις ἡμέραις ἔπλεον
decked having-fitted-out and in few days sailed
ἐπὶ τῆς Κερκύρας, ἐλπίζοντες λύσειν τὴν πολιορκίαν.
for — Corcyra hoping to-be-going-to-raise the siege
οἱ δ' Ἰλλυριοὶ συμπαραλαβόντες Ἀκαρνάνων ναῦς κατὰ 10.1
the and Illyrians having-taken-along of-Acarnanians ships according-to
τὴν συμμαχίαν, οὔσας ἑπτὰ καταφράκτους, ἀνταναχθέντες
the alliance being seven decked having-put-out-against
συνέβαλλον τοῖς τῶν Ἀχαιῶν σκάφεσιν περὶ τοὺς
engaged the of-the Achaeans vessels about the
καλουμένους Παξούς.
called Paxi
οἱ μὲν οὖν Ἀκαρνᾶνες καὶ τῶν Ἀχαϊκῶν νεῶν αἱ 10.2
the indeed therefore Acarnanians and of-the Achaean ships those
κατὰ τούτους ταχθεῖσαι πάρισον ἐποίουν τὸν ἀγῶνα
against these posted evenly-matched made the contest

καὶ διέμενον ἀκέραιοι κατὰ τὰς συμπλοκὰς πλὴν τῶν
and remained undamaged in the grapplings except the
εἰς αὐτοὺς τοὺς ἄνδρας γινομένων τραυμάτων.
to the-very — men occurring wounds

10.3 οἱ δ' Ἰλλυριοὶ ζεύξαντες τοὺς παρ' αὑτῶν λέμβους ἀνὰ
the and Illyrians having-yoked the from themselves galleys by
τέτταρας συνεπλέκοντο τοῖς πολεμίοις. καὶ τῶν μὲν
fours grappled-with the enemy and of-the indeed
ἰδίων ὠλιγώρουν καὶ παραβάλλοντες πλαγίους συνήργουν
own-ones made-light and presenting broadside cooperated
ταῖς ἐμβολαῖς τῶν ὑπεναντίων.
with-the rammings of-the enemy

10.4 ὅτε δὲ τρώσαντα καὶ δεθέντα κατὰ τὰς ἐμβολὰς
when and having-holed and having-been-bound in the rammings
δυσχρήστως διέκειτο πρὸς τὸ παρὸν τὰ τῶν ἀντιπάλων
helplessly were-placed for the present the of-the opponents
σκάφη, προσκρεμαμένων αὐτοῖς περὶ τοὺς ἐμβόλους
vessels hanging-on them about the rams
τῶν ἐζευγμένων λέμβων, τότ' ἐπιπηδῶντες ἐπὶ τὰ
of-the yoked galleys then leaping onto the
καταστρώματα τῶν Ἀχαϊκῶν νεῶν κατεκράτουν διὰ
decks of-the Achaean ships they-overpowered because-of
τὸ πλῆθος τῶν ἐπιβατῶν.
the number of-the marines

10.5 καὶ τούτῳ τῷ τρόπῳ τεττάρων μὲν πλοίων ἐκυρίευσαν
and in-this the way four indeed ships they-captured
τετρηρικῶν, μίαν δὲ πεντήρη σὺν αὐτοῖς τοῖς ἀνδράσιν
quadriremes one and quinquereme with the-very — men
ἐβύθισαν, ἐφ' ἧς ἔπλει Μάργος ὁ Καρυνεύς, ἀνὴρ πάντα
they-sank on which sailed Margus the Carynean a-man all

τὰ δίκαια τῷ κοινῷ τῶν Ἀχαιῶν πολιτεύματι πεποιηκὼς
the just-things for-the common of-the Achaeans commonwealth having-done
μέχρι τῆς καταστροφῆς.
until the end
οἱ δὲ πρὸς τοὺς Ἀκαρνᾶνας διαγωνιζόμενοι, συνιδόντες 10.6
those and against the Acarnanians fighting-it-out having-seen
τὸ κατὰ τοὺς Ἰλλυριοὺς προτέρημα καὶ πιστεύοντες τῷ
the in the Illyrians advantage and trusting in-the
ταχυναυτεῖν, ἐπουρώσαντες ἀσφαλῶς τὴν ἀποχώρησιν εἰς
to-sail-fast having-got-a-fair-wind safely the withdrawal to
τὴν οἰκείαν ἐποιήσαντο.
the home-country made
τὸ δὲ τῶν Ἰλλυριῶν πλῆθος φρονηματισθὲν ἐπὶ τῷ 10.7
the and of-the Illyrians mass made-proud at the
προτερήματι λοιπὸν ἤδη ῥᾳδίως ἐχρήσατο τῇ πολιορκίᾳ
advantage thereafter already easily conducted the siege
καὶ τεθαρρηκότως.
and confidently
οἱ δὲ Κερκυραῖοι δυσελπιστήσαντες τοῖς ὅλοις ἐκ τῶν 10.8
the and Corcyraeans having-despaired of-the whole from the-things
συμβεβηκότων, βραχὺν ἔτι χρόνον ὑπομείναντες τὴν
having-happened short still time having-endured the
πολιορκίαν συνέθεντο τοῖς Ἰλλυριοῖς καὶ παρεδέξαντο
siege came-to-terms with-the Illyrians and received
φρουρὰν καὶ μετὰ τῆς φρουρᾶς Δημήτριον τὸν Φάριον.
a-garrison and with the garrison Demetrius the Pharian
τούτων δὲ πραχθέντων εὐθέως οἱ τῶν Ἰλλυριῶν 10.9
these and having-been-done straightway the of-the Illyrians
προεστῶτες ἀνήγοντο· καὶ κατάραντες εἰς τὴν Ἐπίδαμνον
leaders put-to-sea and having-put-in to — Epidamnus
ταύτην πάλιν ἐπεβάλοντο πολιορκεῖν τὴν πόλιν.
this again undertook to-besiege the city

11.1 κατὰ δὲ τοὺς αὐτοὺς καιροὺς τῶν τὰς ὑπάτους ἀρχὰς
at and the same times of-those the consular offices
ἐχόντων Γνάιος μὲν Φόλουιος ἐξέπλει ναυσὶ διακοσίαις
holding Gnaeus indeed Fulvius sailed-out with-ships two-hundred
ἐκ τῆς Ῥώμης, Αὖλος δὲ Ποστόμιος τὰς πεζικὰς ἔχων
from — Rome Aulus and Postumius the infantry having
δυνάμεις ἐξώρμα.
forces set-out

11.2 τὴν μὲν οὖν πρώτην ἐπιβολὴν ἔσχε πλεῖν ὁ Γνάιος
the indeed therefore first design had to-sail — Gnaeus
ἐπὶ τῆς Κερκύρας, ὑπολαμβάνων ἔτι καταλήψεσθαι τὴν
to — Corcyra supposing still to-be-going-to-find the
πολιορκίαν ἄκριτον·
siege undecided

11.3 ὑστερήσας δὲ τῶν καιρῶν ὅμως ἐπὶ τὴν νῆσον ἔπλει,
having-been-too-late and for-the occasion nevertheless to the island he-sailed
βουλόμενος ἅμα μὲν ἐπιγνῶναι σαφῶς τὰ γεγονότα
wishing at-once indeed to-learn clearly the-things having-happened
περὶ τὴν πόλιν, ἅμα δὲ πεῖραν λαβεῖν τῶν παρὰ τοῦ
about the city at-once and trial to-take of-the from —
Δημητρίου προσαγγελλομένων.
Demetrius being-announced

11.4 ὁ γὰρ Δημήτριος ἐν διαβολαῖς ὢν καὶ φοβούμενος τὴν
— for Demetrius in slanders being and fearing —
Τεύταν διεπέμπετο πρὸς τοὺς Ῥωμαίους, ἐπαγγελλόμενος
Teuta kept-sending to the Romans promising
τήν τε πόλιν ἐγχειριεῖν καὶ τὰ λοιπὰ πράγματα
the both city to-be-going-to-hand-over and the remaining affairs
παραδώσειν, ὧν ἦν αὐτὸς κύριος.
to-be-going-to-surrender of-which was he-himself master

οἱ δὲ Κερκυραῖοι τὴν παρουσίαν τῶν Ῥωμαίων ἀσμένως 11.5
the and Corcyraeans the presence of-the Romans gladly
ἰδόντες, τήν τε φρουρὰν παρέδοσαν τῶν Ἰλλυριῶν μετὰ
having-seen the both garrison handed-over of-the Illyrians with
τῆς τοῦ Δημητρίου γνώμης, αὐτοί τε σφᾶς ὁμοθυμαδὸν
the — of-Demetrius consent they-themselves both themselves with-one-accord
ἔδωκαν παρακληθέντες εἰς τὴν τῶν Ῥωμαίων πίστιν, μίαν
gave having-been-invited into the of-the Romans protection one
ταύτην ὑπολαβόντες ἀσφάλειαν αὑτοῖς ὑπάρχειν εἰς τὸν
this supposing safety for-themselves to-exist for the
μέλλοντα χρόνον πρὸς τὴν Ἰλλυριῶν παρανομίαν.
future time against the of-Illyrians lawlessness
Ῥωμαῖοι δὲ προσδεξάμενοι τοὺς Κερκυραίους εἰς τὴν 11.6
Romans and having-received the Corcyraeans into the
φιλίαν ἔπλεον ἐπὶ τῆς Ἀπολλωνίας, ἔχοντες εἰς τὰ
friendship sailed to — Apollonia having for the
κατάλοιπα τῶν πραγμάτων ἡγεμόνα τὸν Δημήτριον.
remaining of-the affairs guide — Demetrius
κατὰ δὲ τὸν αὐτὸν καιρὸν καὶ Ποστόμιος τὰς πεζικὰς 11.7
at and the same time also Postumius the infantry
διεβίβαζε δυνάμεις ἐκ τοῦ Βρεντεσίου, πεζοὺς μὲν εἰς
took-across forces from — Brundisium infantry indeed up-to
δισμυρίους, ἱππεῖς δὲ περὶ δισχιλίους.
twenty-thousand cavalry and about two-thousand
ἅμα δὲ τῷ προσέχειν ἑκατέρας ὁμοῦ τὰς δυνάμεις 11.8
at-the-same-time and with-the to-put-in both together the forces
πρὸς τὴν Ἀπολλωνίαν ὁμοίως καὶ τούτων ἀποδεξαμένων
at — Apollonia likewise also these having-received
καὶ δόντων ἑαυτοὺς εἰς τὴν ἐπιτροπὴν παραχρῆμα πάλιν
and having-given themselves into the charge at-once again
ἀνήχθησαν, ἀκούοντες πολιορκεῖσθαι τὴν Ἐπίδαμνον.
they-put-to-sea hearing to-be-besieged — Epidamnus

11.9 οἱ δ' Ἰλλυριοὶ συνέντες τὴν ἔφοδον τῶν Ῥωμαίων,
the and Illyrians having-learned-of the approach of-the Romans
οὐδενὶ κόσμῳ λύσαντες τὴν πολιορκίαν ἔφυγον.
in-no order having-raised the siege fled
11.10 Ῥωμαῖοι δὲ καὶ τοὺς Ἐπιδαμνίους παραλαβόντες εἰς τὴν
Romans and also the Epidamnians having-taken into the
πίστιν προῆγον εἰς τοὺς εἴσω τόπους τῆς Ἰλλυρίδος,
protection advanced into the inner places — of-Illyria
ἅμα καταστρεφόμενοι τοὺς Ἀρδιαίους.
at-the-same-time subduing the Ardiaeans
11.11 συμμιξάντων δὲ πρεσβευτῶν αὐτοῖς καὶ πλειόνων, ὧν
having-met and envoys them also many of-whom
οἱ παρὰ τῶν Παρθίνων ἦκον ἐπιτρέποντες τὰ καθ'
those from the Parthini came entrusting the-things concerning
αὑτούς, δεξάμενοι τούτους εἰς τὴν φιλίαν, παραπλησίως δὲ
themselves having-received these into the friendship similarly and
καὶ τοὺς παρὰ τῶν Ἀτιντάνων προσεληλυθότας προῆγον
also those from the Atintanians having-come they-advanced
ὡς ἐπὶ τὴν Ἴσσαν διὰ τὸ καὶ ταύτην ὑπὸ τῶν
as toward — Issa because-of the also this by the
Ἰλλυριῶν πολιορκεῖσθαι τὴν πόλιν.
Illyrians to-be-besieged the city
11.12 ἀφικόμενοι δὲ καὶ λύσαντες τὴν πολιορκίαν προσεδέξαντο
having-arrived and and having-raised the siege they-received
καὶ τοὺς Ἰσσαίους εἰς τὴν ἑαυτῶν πίστιν.
also the Issaeans into the their-own protection
11.13 εἷλον δὲ καὶ πόλεις τινὰς Ἰλλυρίδας ἐν τῷ παράπλῳ
they-took and also cities some Illyrian in the coasting-voyage
κατὰ κράτος· ἐν αἷς περὶ Νουτρίαν οὐ μόνον τῶν
by force in which about Nutria not only of-the

στρατιωτῶν ἀπέβαλον πολλούς, ἀλλὰ καὶ τῶν χιλιάρχων
soldiers they-lost many but also of-the military-tribunes
τινὰς καὶ τὸν ταμίαν.
some and the quaestor
ἐκυρίευσαν δὲ καὶ λέμβων εἴκοσι τῶν ἀποκομιζόντων 11.14
they-became-masters and also of-galleys twenty of-those carrying-off
τὴν ἐκ τῆς χώρας ὠφέλειαν.
the from the country booty
τῶν δὲ πολιορκούντων τὴν Ἴσσαν οἱ μὲν ἐν τῇ Φάρῳ 11.15
of-those and besieging — Issa those indeed in — Pharos
διὰ τὸν Δημήτριον ἀβλαβεῖς ἔμειναν, οἱ δ' ἄλλοι
because-of — Demetrius unharmed remained the and others
πάντες ἔφυγον εἰς τὸν Ἄρβωνα σκεδασθέντες.
all fled to — Arbo having-been-scattered
ἡ δὲ Τεύτα πάνυ μετ' ὀλίγων εἰς τὸν Ῥίζονα διεσώθη, 11.16
— and Teuta quite with few to — Rhizon escaped
πολισμάτιον εὖ πρὸς ὀχυρότητα κατεσκευασμένον,
a-small-town well for strength built
ἀνακεχωρηκὸς μὲν ἀπὸ τῆς θαλάττης, ἐπ' αὐτῷ δὲ
withdrawn indeed from the sea on it and
κείμενον τῷ Ῥίζονι ποταμῷ.
lying on-the Rhizon river
ταῦτα δὲ πράξαντες καὶ τῷ Δημητρίῳ τοὺς πλείστους 11.17
these-things and having-done and — to-Demetrius the most
ὑποτάξαντες τῶν Ἰλλυριῶν καὶ μεγάλην αὐτῷ περιθέντες
having-subjected of-the Illyrians and great on-him having-conferred
δυναστείαν ἀνεχώρησαν εἰς τὴν Ἐπίδαμνον ἅμα τῷ
dominion they-withdrew to — Epidamnus together-with the
στόλῳ καὶ τῇ πεζικῇ δυνάμει.
fleet and the infantry force

12.1 Γνάιος μὲν οὖν Φόλουιος εἰς τὴν Ῥώμην ἀπέπλευσε, τὸ
Gnaeus indeed therefore Fulvius to — Rome sailed-away the
πλεῖον ἔχων μέρος τῆς τε ναυτικῆς καὶ πεζικῆς στρατιᾶς.
greater having part of-the both naval and infantry army
12.2 ὁ δὲ Ποστόμιος ὑπολειπόμενος τετταράκοντα σκάφη καὶ
— and Postumius leaving-behind forty vessels and
στρατόπεδον ἐκ τῶν περικειμένων πόλεων ἀθροίσας
an-army from the surrounding cities having-gathered
παρεχείμαζε, συνεφεδρεύων τῷ τε τῶν Ἀρδιαίων ἔθνει
wintered watching the both of-the Ardiaeans nation
καὶ τοῖς ἄλλοις τοῖς δεδωκόσιν ἑαυτοὺς εἰς τὴν πίστιν.
and the others those having-given themselves into the protection
12.3 ὑπὸ δὲ τὴν ἐαρινὴν ὥραν ἡ Τεύτα διαπρεσβευσαμένη
toward and the spring season — Teuta having-sent-envoys
πρὸς τοὺς Ῥωμαίους ποιεῖται συνθήκας, ἐν αἷς εὐδόκησε
to the Romans makes a-treaty in which she-consented
φόρους τε τοὺς διαταχθέντας οἴσειν πάσης τ᾽
tributes both the imposed to-be-going-to-pay all and
ἀναχωρήσειν τῆς Ἰλλυρίδος πλὴν ὀλίγων τόπων, καὶ
to-be-going-to-withdraw-from — Illyria except few places and
τὸ συνέχον, ὃ μάλιστα πρὸς τοὺς Ἕλληνας διέτεινε,
the chief-point which most to the Greeks extended
μὴ πλεύσειν πλέον ἢ δυσὶ λέμβοις ἔξω τοῦ Λίσσου,
not to-be-going-to-sail more than with-two galleys beyond — Lissus
καὶ τούτοις ἀνόπλοις.
and these unarmed
12.4 ὧν συντελεσθέντων ὁ Ποστόμιος μετὰ ταῦτα πρεσβευτὰς
which having-been-accomplished — Postumius after these-things envoys
ἐξαπέστειλε πρός τε τοὺς Αἰτωλοὺς καὶ τὸ τῶν Ἀχαιῶν
sent-out to both the Aetolians and the of-the Achaeans
ἔθνος· οἳ καὶ παραγενόμενοι πρῶτον μὲν ἀπελογίσαντο
nation who also having-arrived first indeed explained

τὰς αἰτίας τοῦ πολέμου καὶ τῆς διαβάσεως, ἑξῆς δὲ
the causes of-the war and of-the crossing next and
τούτοις τὰ πεπραγμένα διεξῆλθον καὶ τὰς συνθήκας
to-these the things-done they-went-through and the treaty
παρανέγνωσαν, ἃς ἐπεποίηντο πρὸς τοὺς Ἰλλυριούς.
read-out which they-had-made with the Illyrians
τυχόντες δὲ παρ' ἑκατέρου τῶν ἐθνῶν τῆς καθηκούσης 12.5
having-met and from each of-the nations the fitting
φιλανθρωπίας αὖθις ἀπέπλευσαν εἰς τὴν Κέρκυραν, ἱκανοῦ
kindness again they-sailed-away to — Corcyra considerable
τινος ἀπολελυκότες φόβου τοὺς Ἕλληνας διὰ τὰς
some having-freed-from fear the Greeks because-of the
προειρημένας συνθήκας.
aforementioned treaty
οὐ γὰρ τισὶν, ἀλλὰ πᾶσι τότε κοινοὺς ἐχθροὺς εἶναι 12.6
not for to-some but to-all then common enemies to-be
συνέβαινε τοὺς Ἰλλυριούς.
it-happened the Illyrians
ἡ μὲν οὖν πρώτη διάβασις Ῥωμαίων μετὰ δυνάμεως 12.7
the indeed therefore first crossing of-Romans with force
εἰς τὴν Ἰλλυρίδα καὶ ταῦτα τὰ μέρη τῆς Εὐρώπης, ἔτι
to — Illyria and these the parts — of-Europe still
δ' ἐπιπλοκὴ μετὰ πρεσβείας εἰς τοὺς κατὰ τὴν Ἑλλάδα
and contact with embassy to the in — Greece
τόπους τοιάδε καὶ διὰ ταύτας ἐγένετο τὰς αἰτίας.
places such and for these happened the causes
ἀπὸ δὲ ταύτης τῆς καταρχῆς Ῥωμαῖοι μὲν εὐθέως 12.8
from and this the beginning Romans indeed straightway
ἄλλους πρεσβευτὰς ἐξαπέστειλαν πρὸς Κορινθίους καὶ πρὸς
other envoys sent-out to Corinthians and to

Ἀθηναίους, ὅτε δὴ καὶ Κορίνθιοι πρῶτον ἀπεδέξαντο
Athenians when indeed also Corinthians first admitted
μετέχειν Ῥωμαίους τοῦ τῶν Ἰσθμίων ἀγῶνος.
to-share Romans of-the of-the Isthmian games

13.1 Ἀσδρούβας δὲ κατὰ τοὺς αὐτοὺς χρόνους — ἐν γὰρ
Hasdrubal and at the same times in for
τούτοις ἀπελίπομεν τὰ κατὰ τὴν Ἰβηρίαν — νουνεχῶς
these we-left the-things in — Iberia sensibly
καὶ πραγματικῶς χειρίζων τὰ κατὰ τὴν ἀρχὴν
and practically handling the-things concerning the rule
ἔν τε τοῖς ὅλοις μεγάλην ἐποιεῖτο προκοπήν, τήν τε
in both the whole great made progress the both
παρὰ μὲν τισὶ Καρχηδόνα, παρὰ δὲ τισὶ Καινὴν πόλιν
by indeed some Carthage by and others New city
προσαγορευομένην κατασκευάσας οὐ μικρά, μεγάλα δὲ
called having-built not small-things great but
συνεβάλλετο Καρχηδονίοις εἰς πραγμάτων λόγον,
contributed to-Carthaginians for of-affairs account

13.2 καὶ μάλιστα διὰ τὴν εὐκαιρίαν τοῦ τόπου πρός
and especially because-of the convenience of-the place for
τε τὰ κατὰ τὴν Ἰβηρίαν πράγματα καὶ πρὸς τὰ
both the in — Iberia affairs and for the
κατὰ τὴν Λιβύην, περὶ ἧς ἡμεῖς εὐφυέστερον καιρὸν
in — Libya about which we more-suitable occasion
λαβόντες ὑποδείξομεν τὴν θέσιν αὐτῆς καὶ τὴν χρείαν, ἣν
having-taken will-show the position its and the use which
ἀμφοτέραις δύναται παρέχεσθαι ταῖς εἰρημέναις χώραις.
to-both can provide the mentioned countries

ὃν καὶ θεωροῦντες Ῥωμαῖοι μείζω καὶ φοβερωτέραν ἤδη 13.3
whom also seeing Romans greater and more-fearsome already
συνιστάμενον δυναστείαν, ὥρμησαν ἐπὶ τὸ πολυπραγμονεῖν
building-up a-dominion set-out to the to-busy-themselves-with
τὰ κατὰ τὴν Ἰβηρίαν.
the in — Iberia
εὑρόντες δὲ σφᾶς ἐπικεκοιμημένους ἐν τοῖς ἔμπροσθεν 13.4
having-found and themselves having-slept in the former
χρόνοις καὶ προειμένους εἰς τὸ μεγάλην χεῖρα
times and having-let-slip into the great power
κατασκευάσασθαι Καρχηδονίους, ἀνατρέχειν ἐπειρῶντο
to-build-up Carthaginians to-run-back they-tried
κατὰ δύναμιν.
according-to ability
αὐτόθεν μὲν οὖν ἐπιτάττειν ἢ πολεμεῖν οὐ κατετόλμων 13.5
on-the-spot indeed therefore to-dictate or to-make-war not they-dared
τοῖς Καρχηδονίοις διὰ τὸ τὸν ἀπὸ τῶν Κελτῶν φόβον
on-the Carthaginians because-of the the from the Celts fear
ἐπικρέμασθαι τοῖς σφετέροις πράγμασιν καὶ μόνον οὐ
to-hang-over the their-own affairs and all but
καθ' ἑκάστην ἡμέραν προσδοκᾶν τὴν ἔφοδον αὐτῶν.
on each day to-expect the attack their
καταψήσαντες δὲ καὶ πραΰναντες τὸν Ἀσδρούβαν, οὕτως 13.6
having-stroked and and having-soothed — Hasdrubal so
ἔκριναν ἐγχειρεῖν τοῖς Κελτοῖς καὶ διακινδυνεύειν πρὸς
they-decided to-attack the Celts and to-fight-it-out with
αὐτούς, οὐδέποτ' ἂν ὑπολαμβάνοντες οὐχ οἷον δυναστεῦσαι
them never — supposing not merely to-rule
τῶν κατὰ τὴν Ἰταλίαν, ἀλλ' οὐδ' ἀσφαλῶς οἰκῆσαι τὴν
of-the in — Italy but not-even safely to-inhabit the
ἑαυτῶν πατρίδα, τούτους ἔχοντες ἐφέδρους τοὺς ἄνδρας.
their-own fatherland these having as-watchers the men

13.7 διόπερ ἅμα τῷ διαπρεσβευσάμενοι πρὸς τὸν Ἀσδρούβαν
wherefore at-once with-the having-sent-envoys to — Hasdrubal
ποιήσασθαι συνθήκας, ἐν αἷς τὴν μὲν ἄλλην Ἰβηρίαν
to-make a-treaty in which the indeed other Iberia
παρεσιώπων, τὸν δὲ καλούμενον Ἴβηρα ποταμὸν οὐκ
they-passed-over-in-silence the and called Iber river not
ἔδει Καρχηδονίους ἐπὶ πολέμῳ διαβαίνειν, εὐθέως
it-was-allowed Carthaginians for war to-cross straightway
ἐξήνεγκαν τὸν πρὸς τοὺς κατὰ τὴν Ἰταλίαν Κελτοὺς
they-brought-on the against the in — Italy Celts
πόλεμον.
war

II.14–20 · THE PO VALLEY AND THE GAULS

To show what lands and men Hannibal relied on, Polybius describes northern Italy: a triangular plain, bounded by the Alps and the Apennines, the richest in Europe, watered by the Padus and so fertile that an inn feeds a traveler for half an as. He names the tribes, Celts who drove out the Etruscans and lived simply in open villages, valuing only cattle, gold, and followers. He then traces their wars with Rome: the taking of Rome, later invasions avoided or defeated, the Senones expelled, and the Boii and Etruscans beaten at Lake Vadimon. These wars, he judges, trained the Romans to fight Pyrrhus and Carthage.

14.1 ὑπὲρ ὧν δοκεῖ μοι χρήσιμον εἶναι κεφαλαιώδη μὲν
about which seems to-me useful to-be summary indeed
ποιήσασθαι τὴν ἐξήγησιν, ἵνα τὸ τῆς προκατασκευῆς
to-make the narrative so-that the of-the introduction
οἰκεῖον συσσώσωμεν κατὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν,
proper we-may-preserve according-to the from beginning plan

ἀναδραμεῖν δὲ τοῖς χρόνοις ἐπὶ τὴν ἀρχήν, ἐξ ὅτου
to-run-back but in-the times to the beginning from when
κατέσχον οἱ προειρημένοι τὴν χώραν·
occupied the aforementioned the country
ἡγοῦμαι γὰρ τὴν περὶ αὐτῶν ἱστορίαν οὐ μόνον ἀξίαν εἶναι 14.2
I-consider for the about them history not only worthy to-be
γνώσεως καὶ μνήμης, ἀλλὰ καὶ τελέως ἀναγκαίαν χάριν
of-knowledge and of-memory but also wholly necessary for-the-sake
τοῦ μαθεῖν τίσι μετὰ ταῦτα πιστεύσας ἀνδράσι καὶ τόποις
of-the to-learn in-what after these-things having-trusted men and places
Ἀννίβας ἐπεβάλετο καταλύειν τὴν Ῥωμαίων δυναστείαν.
Hannibal undertook to-overthrow the of-Romans dominion
πρῶτον δὲ περὶ τῆς χώρας ῥητέον ποία τίς ἐστιν 14.3
first and about the country must-be-said of-what-sort some it-is
καὶ πῶς κεῖται πρὸς τὴν ἄλλην Ἰταλίαν. οὕτως γὰρ
and how it-lies toward the other Italy so for
ἔσται καὶ τὰ περὶ τὰς πράξεις διαφέροντα
it-will-be-possible also the-things about the actions distinctive
κατανοεῖν βέλτιον, ὑπογραφέντων τῶν περί τε τοὺς
to-understand better having-been-outlined the about both the
τόπους καὶ τὴν χώραν ἰδιωμάτων.
places and the country peculiarities
τῆς δὴ συμπάσης Ἰταλίας τῷ σχήματι τριγωνοειδοῦς 14.4
the indeed whole Italy in-the shape triangular
ὑπαρχούσης, τὴν μὲν μίαν ὁρίζει πλευρὰν αὐτῆς τὴν
being the indeed one bounds side its the
πρὸς τὰς ἀνατολὰς κεκλιμένην ὅ τ' Ἰόνιος πόρος καὶ
toward the east inclined the both Ionian strait and
κατὰ τὸ συνεχὲς ὁ κατὰ τὸν Ἀδρίαν κόλπος, τὴν δὲ
in the continuation the at the Adriatic gulf the and

πρὸς μεσημβρίαν καὶ δυσμὰς τετραμμένην τὸ Σικελικὸν
toward south and west turned the Sicilian
καὶ Τυρρηνικὸν πέλαγος.
and Tyrrhenian sea

14.5 αὗται δ' αἱ πλευραὶ συμπίπτουσαι πρὸς ἀλλήλας κορυφὴν
these and the sides meeting with one-another a-vertex
ποιοῦσι τοῦ τριγώνου τὸ προκείμενον ἀκρωτήριον τῆς
make of-the triangle the projecting promontory —
Ἰταλίας εἰς τὴν μεσημβρίαν, ὃ προσαγορεύεται μὲν
of-Italy to the south which is-called indeed
Κόκυνθος, διαιρεῖ δὲ τὸν Ἰόνιον πόρον καὶ τὸ Σικελικὸν
Cocynthus divides and the Ionian strait and the Sicilian
πέλαγος.
sea

14.6 τὴν δὲ λοιπὴν τὴν παρά τε τὰς ἄρκτους καὶ τὴν
the and remaining the along both the north and the
μεσόγαιαν παρατείνουσαν ὁρίζει κατὰ τὸ συνεχὲς ἡ τῶν
interior extending bounds in the continuation the of-the
Ἄλπεων παρώρεια, λαμβάνουσα τὴν μὲν ἀρχὴν ἀπὸ
Alps range taking the indeed beginning from
Μασσαλίας καὶ τῶν ὑπὲρ τὸ Σαρδῷον πέλαγος τόπων,
Massalia and the above the Sardinian sea places
παρήκουσα δὲ συνεχῶς μέχρι πρὸς τὸν τοῦ παντὸς
stretching and continuously as-far as the of-the whole
Ἀδρίου μυχόν, πλὴν βραχέος, ὃ προκαταλήγουσα λείπει
Adriatic recess except a-short-distance which stopping-short it-leaves
τοῦ μὴ συνάπτειν αὐτῷ.
the not to-join it

14.7 παρὰ δὲ τὴν προειρημένην παρώρειαν, ἣν δεῖ νοεῖν
along and the aforementioned range which one-must to-think-of
ὡσανεὶ βάσιν τοῦ τριγώνου, παρὰ ταύτην ἀπὸ μεσημβρίας
as-it-were base of-the triangle along this from south

ὑπόκειται πεδία τῆς συμπάσης Ἰταλίας τελευταῖα πρὸς
lie plains of-the whole Italy last toward
τὰς ἄρκτους, ὑπὲρ ὧν ὁ νῦν δὴ λόγος, ἀρετῇ καὶ
the north about which the now indeed discourse in-excellence and
μεγέθει διαφέροντα τῶν κατὰ τὴν Εὐρώπην, ὅσα
in-size surpassing of-those in — Europe as-many-as
πέπτωκεν ὑπὸ τὴν ἡμετέραν ἱστορίαν.
have-fallen under the our history
ἔστι δὲ τὸ μὲν ὅλον εἶδος καὶ τῆς ταῦτα τὰ 14.8
is and the indeed whole form also of-the these the
badly but faring from the preceding in the
νυκτὶ πορείας καὶ κακοπαθείας καὶ ταλαιπωρίας ὥρμησαν
night march and hardship and distress they-set-out

πρὸς ἀνάπαυσιν καὶ θεραπείαν, φυλακὴν ἀπολιπόντες τῶν
for rest and refreshment a-guard having-left of-the
ἰδίων ἱππέων περὶ τὸν λόφον,
own cavalry about the hill
25.11 πρόθεσιν ἔχοντες κατὰ τὴν ἐπιοῦσαν πολιορκεῖν τοὺς
purpose having on the next-(day) to-besiege those
συμπεφευγότας, ἐὰν μὴ παραδῶσιν ἑαυτοὺς ἑκουσίως.
having-fled-together if not they-surrender themselves voluntarily
26.1 κατὰ δὲ τὸν καιρὸν τοῦτον Λεύκιος Αἰμίλιος ὁ
at and the time this Lucius Aemilius the-one
προκαθήμενος ἐπὶ τῶν κατὰ τὸν Ἀδρίαν τόπων ἀκούσας τοὺς
stationed-in-advance at the about the Adriatic places having-heard the
Κελτοὺς διὰ Τυρρηνίας ἐμβεβληκότας συνεγγίζειν τῇ Ῥώμῃ,
Celts through Etruria having-invaded to-be-approaching — Rome
παρῆν βοηθῶν κατὰ σπουδὴν εὐτυχῶς εἰς δέοντα καιρόν.
came helping in haste fortunately at the-needful moment
26.2 καταστρατοπεδεύσαντος δ' αὐτοῦ σύνεγγυς τῶν πολεμίων,
having-encamped and him near the enemy
κατιδόντες τὰ πυρὰ καὶ νοήσαντες τὸ γεγονὸς οἱ
having-seen the fires and having-understood the having-happened those
συμπεφευγότες ἐπὶ τὸν λόφον ταχέως ἀναθαρρήσαντες
having-fled-together to the hill quickly having-taken-heart
ἐξαπέστειλαν αὑτῶν τινας τῆς νυκτὸς ἀνόπλους διὰ
sent-out of-themselves some in-the night unarmed through
τῆς ὕλης ἀναγγελοῦντας τῷ στρατηγῷ τὸ συμβεβηκός.
the wood to-be-going-to-report to-the general the having-happened
26.3 ὁ δὲ διακούσας καὶ θεωρῶν οὐδὲ διαβούλιον αὑτῷ
he and having-heard and seeing not-even deliberation for-himself
καταλειπόμενον ὑπὲρ τῶν ἐνεστώτων, τοῖς μὲν χιλιάρχοις
left about the present-things to-the indeed military-tribunes
ἅμα τῷ φωτὶ παρήγγειλε τοὺς πεζοὺς ἐξάγειν, αὐτὸς
at-once with-the light ordered the infantry to-lead-out he-himself

δὲ τοὺς ἱππεῖς ἀναλαβὼν καθηγεῖτο τῆς δυνάμεως,
and the cavalry having-taken led the force
ποιούμενος τὴν πορείαν ἐπὶ τὸν προειρημένον βουνόν.
making the march to the aforementioned hill
οἱ δὲ τῶν Γαλατῶν ἡγεμόνες ἀφορῶντες τὰ πυρὰ τῆς 26.4
the and of-the Gauls leaders looking-at the fires during-the
νυκτὸς καὶ συλλογιζόμενοι τὴν παρουσίαν τῶν πολεμίων
night and inferring the presence of-the enemy
συνήδρευον.
held-council
οἷς Ἀνηροέστης ὁ βασιλεὺς γνώμην εἰσέφερε λέγων 26.5
to-whom Aneroestes the king an-opinion brought-forward saying
ὅτι δεῖ τοσαύτης λείας ἐγκρατεῖς γεγονότας — ἦν
that it-is-needful so-much booty masters having-become was
γάρ, ὡς ἔοικε, καὶ τὸ τῶν σωμάτων καὶ θρεμμάτων
for as it-seems both the of-the persons and of-cattle
πλῆθος, ἔτι δὲ τῆς ἀποσκευῆς ἣς εἶχον, ἀμύθητον —
number still and of-the baggage which they-had untold
διόπερ ἔφη δεῖν μὴ κινδυνεύειν ἔτι μηδὲ 26.6
wherefore he-said it-was-needful not to-risk-battle any-more nor
παραβάλλεσθαι τοῖς ὅλοις, ἀλλ' εἰς τὴν οἰκείαν ἀδεῶς
to-hazard the whole but into the home-country fearlessly
ἐπανάγειν· ταῦτα δ' ἀποσκευασαμένους καὶ γενομένους
to-lead-back these-things and having-disposed-of and having-become
εὐζώνους αὖθις ἐγχειρεῖν ὁλοσχερῶς, ἐὰν δοκῇ, τοῖς
light-equipped again to-attack in-full if it-seems-good the
Ῥωμαίων πράγμασιν.
of-Romans affairs
δόξαντος δὲ σφίσι κατὰ τὴν Ἀνηροέστου γνώμην 26.7
it-having-seemed-good and to-them according-to the of-Aneroestes opinion
χρήσασθαι τοῖς παροῦσιν, οὗτοι μὲν τῆς νυκτὸς
to-deal with-the present they indeed during-the night

ταῦτα βουλευσάμενοι, πρὸ φωτὸς ἀναζεύξαντες προῆγον
these-things having-decided before light having-broken-camp advanced
παρὰ θάλατταν διὰ τῆς Τυρρηνῶν χώρας.
along sea through the of-Etruscans country

26.8 ὁ δὲ Λεύκιος ἀναλαβὼν ἐκ τοῦ βουνοῦ τὸ διασῳζόμενον
— and Lucius having-taken-up from the hill the surviving
τοῦ στρατοπέδου μέρος ἅμα ταῖς ἰδίαις δυνάμεσι
of-the army part together-with the own forces
τὸ μὲν διακινδυνεύειν ἐκ παρατάξεως οὐδαμῶς ἔκρινε
the indeed to-risk-all in pitched-battle in-no-way judged
συμφέρειν, ἐπιτηρεῖν δὲ μᾶλλον καιροὺς καὶ τόπους
to-be-advantageous to-watch-for and rather opportunities and places
εὐφυεῖς ἑπόμενος, ἐάν πού τι βλάψαι τοὺς πολεμίους
favorable following if somewhere at-all to-harm the enemy
ἢ τῆς λείας ἀποσπάσαι δυνηθῇ.
or of-the booty to-snatch he-be-able

27.1 κατὰ δὲ τοὺς καιροὺς τούτους ἐκ Σαρδόνος μετὰ
at and the times these from Sardinia with
τῶν στρατοπέδων Γάιος Ἀτίλιος ὕπατος εἰς Πίσας
the legions Gaius Atilius consul to Pisae
καταπεπλευκὼς προῆγε μετὰ τῆς δυνάμεως εἰς Ῥώμην,
having-sailed-in advanced with the force to Rome
ἐναντίαν ποιούμενος τοῖς πολεμίοις τὴν πορείαν.
contrary making to-the enemy the march

27.2 ἤδη δὲ περὶ Τελαμῶνα τῆς Τυρρηνίας τῶν Κελτῶν
already and about Telamon — of-Etruria the Celts
ὑπαρχόντων, οἱ προνομεύοντες ἐξ αὐτῶν ἐμπεσόντες εἰς
being those foraging from them having-fallen into
τοὺς παρὰ τοῦ Γαΐου προπορευομένους ἑάλωσαν·
those from — Gaius going-ahead were-captured

καὶ τά τε προγεγονότα διεσάφουν ἀνακρινόμενοι τῷ 27.3
and the both previous-events they-made-clear being-questioned to-the
στρατηγῷ καὶ τὴν παρουσίαν ἀμφοτέρων τῶν στρατοπέδων
general and the presence of-both the armies
ἀνήγγελλον, σημαίνοντες διότι τελείως σύνεγγύς εἰσιν οἱ
reported indicating that wholly near are the
Κελτοὶ καὶ τούτων κατόπιν οἱ περὶ τὸν Λεύκιον.
Celts and these behind those about — Lucius
ὁ δὲ τὰ μὲν ξενισθεὶς ἐπὶ τοῖς προσπίπτουσι, τὰ δ' 27.4
he and partly indeed surprised at the occurring-things partly and
εὔελπις γενόμενος ἐπὶ τῷ δοκεῖν μέσους κατὰ πορείαν
hopeful having-become at the to-seem in-the-middle on march
ἀπειληφέναι τοὺς Κελτούς, τοῖς μὲν χιλιάρχοις παρήγγειλε
to-have-caught the Celts to-the indeed military-tribunes ordered
τάττειν τὰ στρατόπεδα καὶ βάδην εἰς τοὔμπροσθεν προάγειν,
to-draw-up the legions and at-a-walk to the-front to-advance
καθ' ὅσον ἂν οἱ τόποι προσδέχωνται τὴν μετωπηδὸν ἔφοδον.
as-far as — the places admit the frontal attack
αὐτὸς δὲ συνθεωρήσας εὐκαίρως λόφον κείμενον ὑπὲρ τὴν 27.5
he-himself and having-observed opportunely a-hill lying above the
ὁδόν, ὑφ' ὃν ἔδει παραπορευθῆναι τοὺς Κελτούς,
road under which it-was-needful to-pass the Celts
ἀναλαβὼν τοὺς ἱππεῖς ὥρμησε σπεύδων προκαταλαβέσθαι
having-taken the cavalry set-out hastening to-seize-first
τὴν ἀκρολοφίαν καὶ πρῶτος κατάρξαι τοῦ κινδύνου,
the hilltop and first to-begin the battle
πεπεισμένος τῆς ἐπιγραφῆς τῶν ἐκβαινόντων πλεῖστον
persuaded of-the credit of-the outcome the-most
οὕτω κληρονομήσειν.
so to-be-going-to-inherit

27.6 οἱ δὲ Κελτοὶ τὸ μὲν πρῶτον τὴν παρουσίαν τῶν
the and Celts the indeed first the presence of-those
περὶ τὸν Ἀτίλιον ἀγνοοῦντες, ἐκ δὲ τοῦ συμβαίνοντος
about — Atilius not-knowing from and the happening
ὑπολαμβάνοντες τοὺς περὶ τὸν Αἰμίλιον περιπεπορεῦσθαι
supposing those about — Aemilius to-have-gone-round
τὴν νύκτα τοῖς ἱππεῦσι καὶ προκαταλαμβάνεσθαι τοὺς
during-the night with-the cavalry and to-be-seizing-first the
τόπους, εὐθέως ἐξαπέστελλον τοὺς παρ' αὐτῶν ἱππεῖς
places straightway sent-out the from themselves cavalry
καί τινας τῶν εὐζώνων, ἀντιποιησομένους τῶν κατὰ τὸν
and some of-the light-armed to-be-going-to-contest the on the
βουνὸν τόπων.
hill places

27.7 ταχὺ δὲ συνέντες τὴν τοῦ Γαΐου παρουσίαν ἔκ τινος
quickly and having-understood the — of-Gaius presence from one
τῶν ἀχθέντων αἰχμαλώτων σπουδῇ παρενέβαλον τοὺς
of-the brought captives in-haste drew-up the
πεζούς, ποιούμενοι τὴν ἔκταξιν ἅμα πρὸς ἑκατέραν τὴν
infantry making the deployment at-once toward each the
ἐπιφάνειαν, καὶ τὴν ἀπ' οὐρᾶς καὶ τὴν κατὰ πρόσωπον·
front both the from rear and the in front

27.8 οὓς μὲν γὰρ ᾔδεσαν ἑπομένους αὐτοῖς, οὓς δὲ κατὰ
whom indeed for they-knew following them whom and at
τὸ στόμα προσεδόκων ἀπαντήσειν, ἔκ τε τῶν
the mouth they-expected to-be-going-to-meet-(them) from both the
προσαγγελλομένων τεκμαιρόμενοι καὶ τῶν κατ' αὐτὸν τὸν
things-reported inferring and the at the-very —
καιρὸν συμβαινόντων.
moment happening

οἱ δὲ περὶ τὸν Αἰμίλιον ἀκηκοότες μὲν τὸν εἰς τὰς Πίσας 28.1
those and about — Aemilius having-heard indeed the into — Pisae
κατάπλουν τῶν στρατοπέδων, οὔπω δὲ προσδοκῶντες
landing of-the legions not-yet but expecting
αὐτὰ συνεγγίζειν, τότε σαφῶς ἐκ τοῦ περὶ τὸν λόφον
them to-be-near then clearly from the about the hill
ἀγῶνος ἔγνωσαν διότι τελέως ἐγγὺς εἶναι συμβαίνει τὰς
struggle knew that wholly near to-be it-happens the
οἰκείας αὐτῶν δυνάμεις.
own their forces
διὸ καὶ τοὺς μὲν ἱππεῖς παραυτίκα βοηθήσοντας 28.2
wherefore also the indeed cavalry at-once to-be-going-to-help
ἐξαπέστελλον τοῖς ἐν τῷ λόφῳ διαγωνιζομένοις, αὐτοὶ
sent-out to-those on the hill fighting they-themselves
δὲ κατὰ τὰς εἰθισμένας τάξεις διακοσμήσαντες τοὺς
and according-to the customary orders having-arranged the
πεζοὺς προῆγον ἐπὶ τοὺς ὑπεναντίους.
infantry advanced against the enemy
οἱ δὲ Κελτοὶ τοὺς μὲν ἐκ τῶν Ἄλπεων Γαισάτους 28.3
the and Celts the indeed from the Alps Gaesatae
προσαγορευομένους ἔταξαν πρὸς τὴν ἀπ᾽ οὐρᾶς ἐπιφάνειαν,
called posted toward the from rear front
ᾗ προσεδόκων τοὺς περὶ τὸν Αἰμίλιον, ἐπὶ δὲ τούτοις
where they-expected those about — Aemilius behind and these
τοὺς Ἴνσομβρας·
the Insubres
πρὸς δὲ τὴν κατὰ πρόσωπον τοὺς Ταυρίσκους καὶ τοὺς ἐπὶ 28.4
toward and the in front the Taurisci and the on
τάδε τοῦ Πάδου κατοικοῦντας Βοίους παρενέβαλον, τὴν
this-side of-the Padus dwelling Boii they-placed the

ἐναντίαν μὲν στάσιν ἔχοντας τοῖς προειρημένοις, βλέποντας
opposite indeed position having to-the aforementioned looking
δὲ πρὸς τὴν τῶν τοῦ Γαΐου στρατοπέδων ἔφοδον.
and toward the of-the — of-Gaius legions attack

28.5 τὰς δ' ἁμάξας καὶ συνωρίδας ἐκτὸς ἑκατέρου τοῦ κέρατος
the and wagons and chariots outside each the wing
παρέστησαν, τὴν δὲ λείαν εἴς τι τῶν παρακειμένων
they-stationed the and booty to one of-the nearby
ὀρῶν φυλακὴν περιστήσαντες ἤθροιζον.
mountains a-guard having-placed-around they-collected

28.6 γενομένης δ' ἀμφιστόμου τῆς τῶν Κελτῶν δυνάμεως, οὐ
having-become and double-fronted the of-the Celts force not
μόνον καταπληκτικὴν ἀλλὰ καὶ πρακτικὴν εἶναι συνέβαινε
only terrifying but also effective to-be happened
τὴν τάξιν.
the order

28.7 οἱ μὲν οὖν Ἴνσομβρες καὶ Βοῖοι τὰς ἀναξυρίδας ἔχοντες
the indeed therefore Insubres and Boii the trousers having
καὶ τοὺς εὐπετεῖς τῶν σάγων περὶ αὑτοὺς ἐξέταξαν.
and the light of-the cloaks about themselves drew-up

28.8 οἱ δὲ Γαισάται διά τε τὴν φιλοδοξίαν καὶ τὸ θάρσος
the and Gaesatae because-of both the love-of-glory and the boldness
ταῦτ' ἀπορρίψαντες γυμνοὶ μετ' αὐτῶν τῶν ὅπλων πρῶτοι
these having-thrown-off naked with the-very — arms first
τῆς δυνάμεως κατέστησαν, ὑπολαβόντες οὕτως ἔσεσθαι
of-the force stood supposing so to-be-going-to-be
πρακτικώτατοι διὰ τό τινας τῶν τόπων βατώδεις
most-effective because-of the some of-the places brambly
ὄντας ἐμπλέκεσθαι τοῖς ἐφάμμασι καὶ παραποδίζειν τὴν
being to-be-entangled-in the garments and to-hamper the
τῶν ὅπλων χρείαν.
of-the arms use

τὸ μὲν οὖν πρῶτον αὐτὸς ὁ κατὰ τὸν λόφον ἐνειστήκει 28.9
the indeed therefore first the-very — on the hill was-under-way
κίνδυνος, ἅπασιν ὢν σύνοπτος, ὡς ἂν ἅμα τοσούτου
fight to-all being visible as — at-once so-great
πλήθους ἱππέων ἀφ' ἑκάστου τῶν στρατοπέδων ἀναμὶξ
a-number of-cavalry from each of-the armies promiscuously
ἀλλήλοις συμπεπτωκότος.
with-one-another having-fallen-together
ἐν δὲ τούτῳ τῷ καιρῷ συνέβη Γάιον μὲν τὸν ὕπατον 28.10
in and this the moment it-happened Gaius indeed the consul
παραβόλως ἀγωνιζόμενον ἐν χειρῶν νόμῳ τελευτῆσαι
recklessly fighting in of-hands law to-end
τὸν βίον, τὴν δὲ κεφαλὴν αὐτοῦ πρὸς τοὺς βασιλέας
the life the and head his to the kings
ἐπανενεχθῆναι τῶν Κελτῶν· τοὺς δὲ τῶν Ῥωμαίων ἱππεῖς
to-be-brought-back of-the Celts the and of-the Romans cavalry
κινδυνεύσαντας ἐρρωμένως τέλος ἐπικρατῆσαι τοῦ τόπου
having-fought vigorously at-last to-prevail-over the place
καὶ τῶν ὑπεναντίων.
and the enemy
μετὰ δὲ ταῦτα τῶν πεζικῶν στρατοπέδων ἤδη σύνεγγυς 28.11
after and these-things the infantry armies already near
ὄντων ἀλλήλοις ἴδιον ἦν καὶ θαυμαστὸν τὸ συμβαῖνον
being to-one-another peculiar was and wonderful the happening
οὐ μόνον τοῖς ἐν αὐτῷ τῷ καιρῷ τότε παροῦσιν, ἀλλὰ
not only to-those in the-very — moment then present but
καὶ τοῖς ποτε μετὰ ταῦτα δυναμένοις ὑπὸ τὴν ὄψιν
also to-those ever after these-things able under the sight
λαμβάνειν ἐκ τῶν λεγομένων τὸ γεγονός.
to-take from the things-said the event

At Telamon the Gauls fight in a double front, the naked Gaesatae in front; Roman javelins break them, the cavalry charge from the hill, and forty thousand Gauls die. Later the Romans subdue the Boii and invade the Insubres; Flaminius wins, though rashly drawn up against a river, by his tribunes' tactic: the front ranks take the Gauls' first strokes, which bend their swords, on the triarii's spears, then close with their own swords. Marcellus' cavalry routs the Gauls at Clastidium, Milan is taken, and the Insubres surrender. Polybius judges the Gauls ruled by passion, not reason, and records their defeat so that Greeks need not fear barbarian hosts.

29.1 πρῶτον μὲν γὰρ ἐκ τριῶν στρατοπέδων τῆς μάχης
first indeed for from three armies the battle
συνισταμένης, δῆλον ὡς ξένην καὶ παρηλλαγμένην εἰκὸς
being-formed clear that strange and unusual likely
καὶ τὴν ἐπιφάνειαν καὶ τὴν χρείαν φαίνεσθαι τοῦ
both the appearance and the employment to-appear of-the
συντεταγμένου.
arrayed-force

29.2 δεύτερον δὲ πῶς οὐκ ἂν ἀπορήσαι τις καὶ νῦν καὶ
second and how not — would-be-at-a-loss one both now and
τότε παρ' αὐτὸν ὢν τὸν καιρὸν πότερον οἱ Κελτοὶ τὴν
then by itself being the moment whether the Celts the
ἐπισφαλεστάτην εἶχον χώραν, ἐξ ἀμφοῖν τοῖν μεροῖν
most-perilous had position from both the two-sides
ἅμα τῶν πολεμίων ἐπαγόντων αὐτοῖς,
at-once the enemy advancing-on them

29.3 ἢ τοὐναντίον τὴν ἐπιτευκτικωτάτην, ἅμα μὲν ἀγωνιζόμενοι
or on-the-contrary the most-advantageous at-once indeed fighting
πρὸς ἀμφοτέρους, ἅμα δὲ τὴν ἀφ' ἑκατέρων ἀσφάλειαν ἐκ
against both at-once and the from each safety from
τῶν ὄπισθεν αὐτοῖς παρασκευάζοντες, τὸ δὲ μέγιστον,
the behind for-themselves providing the and greatest

ἀποκεκλειμένης πάσης τῆς εἰς τοὔπισθεν ἀναχωρήσεως
having-been-shut-off all the to the-rear retreat
καὶ τῆς ἐν τῷ λείπεσθαι σωτηρίας;
and the in the to-be-defeated safety
ἡ γὰρ τῆς ἀμφιστόμου τάξεως ἰδιότης τοιαύτην ἔχει τὴν 29.4
the for of-the double-fronted formation peculiarity such has the
χρείαν.
use
τούς γε μὴν Ῥωμαίους τὰ μὲν εὐθαρσεῖς ἐποίει τὸ 29.5
the at-least indeed Romans partly indeed confident made the
μέσους καὶ πάντοθεν περιειληφέναι τοὺς πολεμίους, τὰ
in-the-middle and on-all-sides to-have-surrounded the enemy partly
δὲ πάλιν ὁ κόσμος αὐτοὺς καὶ θόρυβος ἐξέπληττε τῆς
and again the array them and din terrified of-the
τῶν Κελτῶν δυνάμεως.
of-the Celts force
ἀναρίθμητον μὲν γὰρ ἦν τὸ τῶν βυκανητῶν καὶ 29.6
countless indeed for was the of-the horn-blowers and
σαλπιγκτῶν πλῆθος. οἷς ἅμα τοῦ παντὸς στρατοπέδου
trumpeters number with-whom at-once the whole army
συμπαιανίζοντος τηλικαύτην καὶ τοιαύτην συνέβαινε
shouting-the-war-cry so-great and such happened
γίνεσθαι κραυγὴν ὥστε μὴ μόνον τὰς σάλπιγγας καὶ
to-arise a-clamor that not only the trumpets and
τὰς δυνάμεις, ἀλλὰ καὶ τοὺς παρακειμένους τόπους
the forces but also the nearby places
συνηχοῦντας ἐξ αὑτῶν δοκεῖν προΐεσθαι φωνήν.
echoing from themselves to-seem to-send-forth voice

29.7 ἐκπληκτικὴ δ' ἦν καὶ τῶν γυμνῶν προεστώτων ἀνδρῶν
terrifying and was also of-the naked standing-in-front men
ἥ τ' ἐπιφάνεια καὶ κίνησις, ὡς ἂν διαφερόντων ταῖς
the both appearance and movement as — excelling in-the
ἀκμαῖς καὶ τοῖς εἴδεσι.
prime and in-the forms
29.8 πάντες δ' οἱ τὰς πρώτας κατέχοντες σπείρας χρυσοῖς
all and those the first holding companies with-gold
μανιάκαις καὶ περιχείροις ἦσαν κατακεκοσμημένοι.
torques and armlets were adorned
29.9 πρὸς ἃ βλέποντες οἱ Ῥωμαῖοι τὰ μὲν ἐξεπλήττοντο,
at which looking the Romans partly indeed were-terrified
τὰ δ' ὑπὸ τῆς τοῦ λυσιτελοῦς ἐλπίδος ἀγόμενοι
partly and by the of-the profit hope led
διπλασίως παρωξύνοντο πρὸς τὸν κίνδυνον.
doubly were-spurred to the battle
30.1 πλὴν ἅμα τῷ τοὺς ἀκοντιστὰς προελθόντας
except at-the-same-time with-the the javelin-men having-come-forward
ἐκ τῶν Ῥωμαϊκῶν στρατοπέδων κατὰ τὸν ἐθισμὸν
from the Roman legions according-to the custom
εἰσακοντίζειν ἐνεργοῖς καὶ πυκνοῖς τοῖς βέλεσιν, τοῖς μὲν
to-throw-javelins with-effective and thick the missiles to-the indeed
ὀπίσω τῶν Κελτῶν πολλὴν εὐχρηστίαν οἱ σάγοι μετὰ
behind of-the Celts much service the cloaks with
τῶν ἀναξυρίδων παρεῖχον·
the trousers provided
30.2 τοῖς δὲ γυμνοῖς προεστῶσι παρὰ τὴν προσδοκίαν τοῦ
to-the and naked standing-in-front contrary-to the expectation of-the
πράγματος συμβαίνοντος τἀναντία πολλὴν ἀπορίαν καὶ
matter happening the-contrary much perplexity and
δυσχρηστίαν παρεῖχε τὸ γινόμενον.
difficulty provided the happening

οὐ γὰρ δυναμένου τοῦ Γαλατικοῦ θυρεοῦ τὸν ἄνδρα 30.3
not for being-able the Gallic shield the man
περισκέπειν, ὅσῳ γυμνὰ καὶ μείζω τὰ σώματ᾽ ἦν,
to-cover by-how-much naked and larger the bodies were
τοσούτῳ συνέβαινε μᾶλλον τὰ βέλη πίπτειν ἔνδον.
by-so-much it-happened more the missiles to-fall within
τέλος δ᾽ οὐ δυνάμενοι μὲν ἀμύνασθαι τοὺς εἰσακοντίζοντας 30.4
at-last and not being-able indeed to-repel those throwing-javelins
διὰ τὴν ἀπόστασιν καὶ τὸ πλῆθος τῶν πιπτόντων
because-of the distance and the number of-the falling
βελῶν, περικακοῦντες δὲ καὶ δυσχρηστούμενοι τοῖς
missiles exasperated but and being-hard-pressed by-the
παροῦσιν, οἱ μὲν εἰς τοὺς πολεμίους ὑπὸ τοῦ θυμοῦ καὶ
present-things the-ones indeed into the enemy under the passion and
τῆς ἀλογιστίας εἰκῇ προπίπτοντες καὶ διδόντες σφᾶς
the unreason at-random rushing-forward and giving them
αὐτοὺς ἑκουσίως ἀπέθνησκον, οἱ δ᾽ εἰς τοὺς φίλους
selves willingly died the-others and to the friends
ἀναχωροῦντες ἐπὶ πόδα καὶ προδήλως ἀποδειλιῶντες
withdrawing back step and openly playing-the-coward
διέστρεφον τοὺς κατόπιν.
threw-into-disorder those behind
τὸ μὲν οὖν τῶν Γαισάτων φρόνημα παρὰ τοῖς 30.5
the indeed therefore of-the Gaesatae pride by the
ἀκοντισταῖς τούτῳ τῷ τρόπῳ κατελύθη,
javelin-men in-this the way was-broken
τὸ δὲ τῶν Ἰνσόμβρων καὶ Βοίων ἔτι δὲ Ταυρίσκων 30.6
the and of-the Insubres and Boii further and of-Taurisci
πλῆθος, ἅμα τῷ τοὺς Ῥωμαίους δεξαμένους τοὺς ἑαυτῶν
mass at-once with-the the Romans having-received the their-own

ἀκοντιστὰς προσβάλλειν σφίσι τὰς σπείρας, συμπεσὸν
javelin-men to-attack them the maniples having-fallen-upon
τοῖς πολεμίοις ἐκ χειρὸς ἐποίει μάχην ἐχυράν.
the enemy from hand made battle stubborn

30.7 διακοπτόμενοι γὰρ ἔμενον ἐπ᾽ ἴσον ταῖς ψυχαῖς, αὐτῷ
being-cut-to-pieces for they-remained on equal in-the spirits itself
τούτῳ καὶ καθόλου καὶ κατ᾽ ἄνδρα λειπόμενοι, ταῖς τῶν
in-this and in-general and by man falling-short in-the of-the
ὅπλων κατασκευαῖς.
arms equipment

30.8 οἱ μὲν οὖν θυρεοὶ πρὸς ἀσφάλειαν, αἱ δὲ μάχαιραι
the indeed therefore shields for safety the and swords
πρὸς πρᾶξιν μεγάλην διαφορὰν ἔχειν, τὴν δὲ Γαλατικὴν
for action great difference to-have the but Gallic
καταφορὰν ἔχειν μόνον.
down-stroke to-have only

30.9 ἐπεὶ δ᾽ ἐξ ὑπερδεξίων καὶ κατὰ κέρας οἱ τῶν Ῥωμαίων
when and from higher-ground and on flank the of-the Romans
ἱππεῖς ἐμβαλόντες ἀπὸ τοῦ λόφου προσέφερον τὰς χεῖρας
cavalry having-charged from the hill brought-to-bear the hands
ἐρρωμένως, τόθ᾽ οἱ μὲν πεζοὶ τῶν Κελτῶν ἐν αὐτῷ τῷ
vigorously then the indeed infantry of-the Celts in the-very —
τῆς παρατάξεως τόπῳ κατεκόπησαν, οἱ δ᾽ ἱππεῖς πρὸς
of-the battle-line place were-cut-down the and cavalry to
φυγὴν ὥρμησαν.
flight set-out

31.1 ἀπέθανον μὲν οὖν τῶν Κελτῶν εἰς τετρακισμυρίους,
died indeed therefore of-the Celts to forty-thousand
ἑάλωσαν δ᾽ οὐκ ἐλάττους μυρίων, ἐν οἷς καὶ τῶν
were-captured and not fewer than-ten-thousand among whom also of-the
βασιλέων Κογκολιτάνος.
kings Concolitanus

ὁ δ' ἕτερος αὐτῶν Ἀνηρόεστος εἴς τινα τόπον συμφυγὼν 31.2
the and other of-them Aneroestus to some place having-fled
μετ' ὀλίγων προσήνεγκε τὰς χεῖρας αὑτῷ καὶ τοῖς
with few laid the hands on-himself and on-the
ἀναγκαίοις.
intimates
ὁ δὲ στρατηγὸς τῶν Ῥωμαίων τὰ μὲν σκῦλα συναθροίσας 31.3
the and general of-the Romans the indeed spoils having-collected
εἰς τὴν Ῥώμην ἀπέστειλε, τὴν δὲ λείαν ἀπέδωκε τοῖς
to — Rome sent-off the and booty gave-back to-the
προσήκουσιν.
owners
αὐτὸς δ' ἀναλαβὼν τὰ στρατόπεδα καὶ διελθὼν παρ' 31.4
himself and having-taken-up the legions and having-gone-through along
αὐτὴν τὴν Λιγυστικὴν εἰς τὴν τῶν Βοίων ἐνέβαλε χώραν.
the-very — Liguria into the of-the Boii invaded country
πληρώσας δὲ τὰς ὁρμὰς τῶν στρατοπέδων τῆς ὠφελείας,
having-satisfied and the desires of-the legions for-the booty
ἐν ὀλίγαις ἡμέραις ἦκεν μετὰ τῶν δυνάμεων εἰς τὴν Ῥώμην.
in few days he-came with the forces to — Rome
καὶ τὸ μὲν Καπετώλιον ἐκόσμησε ταῖς τε σημείαις καὶ 31.5
and the indeed Capitol he-adorned with-the both standards and
τοῖς μανιάκαις — τοῦτο δ' ἔστι χρυσοῦν ψέλιον, ὃ
the torques this and is a-golden bracelet which
φοροῦσι περὶ τὸν τράχηλον οἱ Γαλάται —
wear around the neck the Gauls
τοῖς δὲ λοιποῖς σκύλοις καὶ τοῖς αἰχμαλώτοις πρὸς τὴν 31.6
the and remaining spoils and the captives for the
εἴσοδον ἐχρήσατο τὴν ἑαυτοῦ καὶ πρὸς τὴν τοῦ θριάμβου
entry he-used the his-own and for the of-the triumph
διακόσμησιν.
decoration

31.7 ἡ μὲν οὖν βαρυτάτη τῶν Κελτῶν ἔφοδος οὕτω καὶ
the indeed therefore heaviest of-the Celts invasion so and
τούτῳ τῷ τρόπῳ διεφθάρη, πᾶσι μὲν Ἰταλιώταις, μάλιστα
in-this the way was-destroyed over-all indeed Italians most
δὲ Ῥωμαίοις μέγαν καὶ φοβερὸν ἐπικρεμάσασα κίνδυνον.
and over-Romans great and fearsome having-hung danger
31.8 ἀπὸ δὲ τοῦ κατορθώματος τούτου κατελπίσαντες Ῥωμαῖοι
from and the success this having-hoped Romans
δυνήσεσθαι τοὺς Κελτοὺς ἐκ τῶν τόπων τῶν περὶ
to-be-going-to-be-able the Celts from the places the about
τὸν Πάδον ὁλοσχερῶς ἐκβαλεῖν, τούς τε μετὰ ταῦτα
the Padus completely to-drive-out the both after these-things
καταστάντας ὑπάτους Κόϊντον Φόλουιον καὶ Τίτον
appointed consuls Quintus Fulvius and Titus
Μάλιον ἀμφοτέρους καὶ τὰς δυνάμεις μετὰ παρασκευῆς
Manlius both and the forces with preparation
μεγάλης ἐξαπέστειλαν ἐπὶ τοὺς Κελτούς.
great sent-out against the Celts
31.9 οὗτοι δὲ τοὺς μὲν Βοίους ἐξ ἐφόδου καταπληξάμενοι
these and the indeed Boii at the-first-onset having-terrified
συνηνάγκασαν εἰς τὴν Ῥωμαίων ἑαυτοὺς δοῦναι πίστιν,
compelled into the of-Romans themselves to-give protection
τὸν δὲ λοιπὸν χρόνον τῆς στρατείας,
the and remaining time of-the campaign
31.10 ἐπιγενομένων ὄμβρων ἐξαισίων, ἔτι δὲ λοιμικῆς διαθέσεως
having-come rains extraordinary further and pestilential condition
ἐμπεσούσης αὐτοῖς, εἰς τέλος ἄπρακτον εἶχον.
having-fallen on-them to end without-result they-had
32.1 μετὰ δὲ τούτους καταστάντες Πόπλιος Φούριος καὶ
after and these appointed Publius Furius and
Γάιος Φλαμίνιος αὖθις ἐνέβαλον εἰς τὴν Κελτικὴν διὰ
Gaius Flaminius again invaded into — Celtic-land through

τῆς τῶν Ἀνάρων χώρας, οἷς συμβαίνει μὴ μακρὰν
the of-the Anares country for-whom it-happens not far
ἀπὸ Μασσαλίας ἔχειν τὴν οἴκησιν.
from Massalia to-have the dwelling
οὓς εἰς τὴν φιλίαν προσαγαγόμενοι διέβησαν εἰς τὴν τῶν 32.2
whom into the friendship having-brought-over they-crossed into the of-the
Ἰνσόμβρων γῆν κατὰ τὰς συρροίας τοῦ τ' Ἀδόα καὶ
Insubres land at the confluence of-the both Adda and
Πάδου ποταμοῦ.
Padus river
λαβόντες δὲ πληγὰς περί τε τὴν διάβασιν καὶ περὶ τὴν 32.3
having-received and blows about both the crossing and about the
στρατοπεδείαν παραυτίκα μὲν ἔμειναν, μετὰ δὲ ταῦτα
encampment at-once indeed they-stayed after and these-things
σπεισάμενοι καθ' ὁμολογίαν ἀνέλυσαν ἐκ τῶν τόπων.
having-made-truce by agreement they-withdrew from the places
περιελθόντες δὲ πλείους ἡμέρας καὶ διελθόντες τὸν 32.4
having-gone-around and several days and having-crossed the
Κλούσιον ποταμὸν ἦλθον εἰς τὴν τῶν Γονομάνων χώραν
Clusius river they-came into the of-the Cenomani country
καὶ προσλαβόντες τούτους, ὄντας συμμάχους, ἐνέβαλον
and having-taken-in-addition these being allies they-invaded
πάλιν ἀπὸ τῶν κατὰ τὰς Ἄλπεις τόπων εἰς τὰ τῶν
again from the by the Alps places into the of-the
Ἰνσόμβρων πεδία καὶ τήν τε γῆν ἐδῄουν καὶ τὰς
Insubres plains and the both land ravaged and the
κατοικίας αὐτῶν ἐξεπόρθουν.
dwellings their sacked

32.5 οἱ δὲ τῶν Ἰνσόμβρων προεστῶτες θεωροῦντες ἀμετάθετον
the and of-the Insubres leaders seeing unchangeable
οὖσαν τὴν ἐπιβολὴν τῶν Ῥωμαίων, ἔκριναν τῆς τύχης
being the design of-the Romans decided of-the fortune
λαβεῖν πεῖραν καὶ διακινδυνεῦσαι πρὸς αὐτοὺς ὁλοσχερῶς.
to-take trial and to-risk-all against them completely
32.6 συναθροίσαντες οὖν ἁπάσας τὰς ὑπαρχούσας δυνάμεις
having-gathered therefore all the existing forces
ἐπὶ ταὐτὸν καὶ τὰς χρυσᾶς σημείας τὰς ἀκινήτους
to the-same-place and the golden standards the immovable
λεγομένας καθελόντες ἐκ τοῦ τῆς Ἀθηνᾶς ἱεροῦ καὶ τἄλλα
called having-taken-down from the — of-Athena temple and the-rest
παρασκευασάμενοι δεόντως μετὰ ταῦτα τεθαρρηκότως
having-prepared duly after these-things confidently
καὶ καταπληκτικῶς ἀντεστρατοπέδευσαν τοῖς πολεμίοις,
and terrifyingly encamped-opposite the enemy
ὄντες τὸ πλῆθος εἰς πέντε μυριάδας.
being the number to five myriads
32.7 οἱ δὲ Ῥωμαῖοι τὰ μὲν ὁρῶντες σφᾶς ἐλάττους ὄντας
the and Romans partly indeed seeing themselves fewer being
παρὰ πολὺ τῶν ἐναντίων, ἐβούλοντο συγχρῆσθαι ταῖς
by much than-the enemy wished to-make-use-of the
τῶν συμμαχούντων αὐτοῖς Κελτῶν δυνάμεσι·
of-the allied with-them Celts forces
32.8 τὰ δὲ συλλογισάμενοι τήν τε Γαλατικὴν ἀθεσίαν καὶ
partly and having-reckoned the both Gallic faithlessness and
διότι πρὸς ὁμοφύλους τῶν προσλαμβανομένων μέλλουσι
that against kinsmen of-those being-taken-on they-are-about
ποιεῖσθαι τὸν κίνδυνον, εὐλαβοῦντο τοιούτοις ἀνδράσιν
to-make the battle they-were-wary with-such men
τοιούτου καιροῦ καὶ πράγματος κοινωνεῖν.
of-such a-crisis and affair to-share

τέλος δ᾽ οὖν αὐτοὶ μὲν ὑπέμειναν ἐντὸς τοῦ ποταμοῦ, 32.9
at-last and therefore they-themselves indeed remained this-side-of the river
τοὺς δὲ τῶν Κελτῶν σφίσι συνόντας διαβιβάσαντες εἰς
the and of-the Celts with-them being having-taken-across to
τὸ πέραν ἀνέσπασαν τὰς ἐπὶ τοῦ ῥείθρου γεφύρας,
the other-side they-pulled-up the over the stream bridges
ἅμα μὲν ἀσφαλιζόμενοι τὰ πρὸς ἐκείνους, ἅμα δὲ 32.10
at-once indeed securing the-things toward them at-once and
μίαν ἑαυτοῖς ἀπολείποντες ἐλπίδα τῆς σωτηρίας τὴν
one for-themselves leaving hope of-the safety the-one
ἐν τῷ νικᾶν διὰ τὸ κατόπιν αὐτοῖς ἄβατον ὄντα
in the to-conquer because-of the behind them impassable being
παρακεῖσθαι τὸν προειρημένον ποταμόν.
to-lie the aforementioned river
πράξαντες δὲ ταῦτα πρὸς τῷ διακινδυνεύειν ἦσαν. 32.11
having-done and these-things at the to-risk-all they-were
δοκοῦσι δ᾽ ἐμφρόνως κεχρῆσθαι τῇ μάχῃ ταύτῃ Ῥωμαῖοι, 33.1
seem and sensibly to-have-handled the battle this Romans
τῶν χιλιάρχων ὑποδειξάντων ὡς δεῖ ποιεῖσθαι τὸν
the military-tribunes having-shown how it-is-needful to-make the
ἀγῶνα κοινῇ καὶ κατ᾽ ἰδίαν ἑκάστους.
struggle in-common and in private each
συνεωρακότες γὰρ ἐκ τῶν προγεγονότων κινδύνων ὅτι 33.2
having-seen for from the previous battles that
τοῖς τε θυμοῖς κατὰ τὴν πρώτην ἔφοδον, ἕως ἂν
in-the both passions in the first attack until —
ἀκέραιον ᾖ, φοβερώτατόν ἐστι πᾶν τὸ Γαλατικὸν φῦλον,
fresh it-be most-fearsome is all the Gallic race
αἵ τε μάχαιραι ταῖς κατασκευαῖς, καθάπερ εἴρηται 33.3
the both swords in-the fashionings as has-been-said
πρότερον, μίαν ἔχουσι τὴν πρώτην καταφορὰν καιρίαν,
before one have the first down-stroke effective

ἀπὸ δὲ ταύτης εὐθέως ἀποξυστροῦνται, καμπτόμεναι
from and this straightway they-are-blunted bending
κατὰ μῆκος καὶ κατὰ πλάτος ἐπὶ τοσοῦτον ὥστ᾽ ἐὰν
along length and along breadth to so-far that if
μὴ δῷ τις ἀναστροφὴν τοῖς χρωμένοις ἐρείσαντας πρὸς
not gives one time-to-recover to-those using-(them) having-pressed against
τὴν γῆν ἀπευθῦναι τῷ ποδί, τελέως ἄπρακτον εἶναι
the ground to-straighten with-the foot wholly ineffective to-be
τὴν δευτέραν πληγὴν αὐτῶν·
the second blow of-them

33.4 ἀναδόντες οὖν οἱ χιλίαρχοι τὰ τῶν τριαρίων δόρατα
having-handed-out therefore the military-tribunes the of-the triarii spears
τῶν κατόπιν ἐφεστώτων ταῖς πρώταις σπείραις καὶ
of-those behind stationed to-the first maniples and
παραγγείλαντες ἐκ μεταλήψεως τοῖς ξίφεσι χρῆσθαι
having-ordered by exchange the swords to-use
συνέβαλον ἐκ παρατάξεως κατὰ πρόσωπον τοῖς Κελτοῖς.
they-engaged in pitched-battle in front with-the Celts

33.5 ἅμα δὲ τῷ πρὸς τὰ δόρατα ταῖς πρώταις
at-the-same-time and with-the against the spears with-the first
καταφοραῖς χρωμένων τῶν Γαλατῶν ἀχρειωθῆναι τὰς
down-strokes using the Gauls to-be-made-useless the
μαχαίρας συνδραμόντες εἰς τὰς χεῖρας τοὺς μὲν Κελτοὺς
swords having-run-together into the hands the indeed Celts
ἀπράκτους ἐποίησαν, ἀφελόμενοι τὴν ἐκ διάρσεως
helpless they-made having-taken-away the from raising-the-arm
αὐτῶν μάχην, ὅπερ ἴδιόν ἐστι Γαλατικῆς χρείας, διὰ
their fighting which peculiar is of-Gallic use because-of
τὸ μηδαμῶς κέντημα τὸ ξίφος ἔχειν·
the in-no-way point the sword to-have

αὐτοὶ δ' οὐκ ἐκ καταφορᾶς ἀλλ' ἐκ διαλήψεως ὀρθαῖς 33.6
themselves and not from down-stroke but from thrust straight
χρώμενοι ταῖς μαχαίραις, πρακτικοῦ τοῦ κεντήματος περὶ
using the swords effective the point on
αὐτὰς ὑπάρχοντος, τύπτοντες εἰς τὰ στέρνα καὶ τὰ πρόσωπα
them being striking into the chests and the faces
καὶ πληγὴν ἐπὶ πληγῇ φέροντες διέφθειραν τοὺς πλείστους
and blow upon blow bearing they-destroyed the most
τῶν παραταξαμένων διὰ τὴν τῶν χιλιάρχων πρόνοιαν.
of-those drawn-up because-of the of-the military-tribunes forethought
ὁ μὲν γὰρ στρατηγὸς Φλαμίνιος οὐκ ὀρθῶς δοκεῖ 33.7
the indeed for general Flaminius not rightly seems
κεχρῆσθαι τῷ προειρημένῳ κινδύνῳ. παρ' αὐτὴν γὰρ τὴν
to-have-handled the aforementioned battle by the-very for —
ὀφρὺν τοῦ ποταμοῦ ποιησάμενος τὴν ἔκταξιν διέφθειρε τὸ
brow of-the river having-made the deployment he-destroyed the
τῆς Ῥωμαϊκῆς μάχης ἴδιον, οὐχ ὑπολειπόμενος τόπον
of-the Roman fighting peculiarity not leaving place
πρὸς τὴν ἐπὶ πόδα ταῖς σπείραις ἀναχώρησιν.
for the back step for-the maniples withdrawal
εἰ γὰρ συνέβη βραχὺ μόνον πιεσθῆναι τῇ χώρᾳ τοὺς 33.8
if for it-had-happened a-little only to-be-pressed in-the ground the
ἄνδρας κατὰ τὴν μάχην, ῥίπτειν ἂν εἰς τὸν ποταμὸν αὑτοὺς
men in the battle to-throw — into the river themselves
ἔδει διὰ τὴν ἀστοχίαν τοῦ προεστῶτος.
it-would-have-been-needful because-of the misjudgment of-the commander
οὐ μὴν ἀλλά γε πολλῷ νικήσαντες ταῖς σφετέραις 33.9
not however but at-least by-much having-conquered by-the their-own
ἀρεταῖς, καθάπερ εἶπον, καὶ παμπληθοῦς μὲν λείας, οὐκ
valor as I-said and of-very-great indeed booty not
ὀλίγων δὲ σκύλων κρατήσαντες ἐπανῆλθον εἰς τὴν Ῥώμην.
few and spoils having-become-masters they-returned to — Rome

34.1 τῷ δ' ἑξῆς ἔτει, διαπρεσβευσαμένων τῶν Κελτῶν ὑπὲρ
in-the and next year having-sent-envoys the Celts for
εἰρήνης καὶ πᾶν ποιήσειν ὑπισχνουμένων, ἔσπευσαν
peace and everything to-be-going-to-do promising hastened
οἱ κατασταθέντες ὕπατοι Μάρκος Κλαύδιος καὶ Γνάιος
those appointed consuls Marcus Claudius and Gnaeus
Κορνήλιος τοῦ μὴ συγχωρηθῆναι τὴν εἰρήνην αὐτοῖς.
Cornelius for-the not to-be-granted the peace to-them
34.2 οἱ δ' ἀποτυχόντες καὶ κρίναντες ἐξελέγξαι τὰς τελευταίας
they and having-failed and having-decided to-test the last
ἐλπίδας, αὖθις ὥρμησαν ἐπὶ τὸ μισθοῦσθαι τῶν περὶ
hopes again set-out to the to-hire of-the about
τὸν Ῥοδανὸν Γαισάτων Γαλατῶν εἰς τρισμυρίους· οὓς
the Rhone Gaesatae Gauls to thirty-thousand whom
παραλαβόντες εἶχον ἐν ἑτοίμῳ καὶ προσεδόκων τὴν τῶν
having-taken they-had in readiness and awaited the of-the
πολεμίων ἔφοδον.
enemy attack
34.3 οἱ δὲ τῶν Ῥωμαίων στρατηγοὶ τῆς ὥρας ἐπιγενομένης
the and of-the Romans generals the season having-come
ἀναλαβόντες τὰς δυνάμεις ἦγον εἰς τὴν τῶν Ἰνσόμβρων
having-taken-up the forces led into the of-the Insubres
χώραν.
country
34.4 παραγενόμενοι δὲ καὶ περιστρατοπεδεύσαντες πόλιν
having-arrived and and having-encamped-around a-city
Ἀχέρρας, ἣ μεταξὺ κεῖται τοῦ Πάδου καὶ τῶν Ἀλπεινῶν
Acerrae which between lies the Padus and the Alpine
ὀρῶν, ἐπολιόρκουν ταύτην.
mountains besieged it

οἱ δ᾽ Ἴνσομβρες βοηθεῖν μὲν οὐ δυνάμενοι διὰ τὸ 34.5
the and Insubres to-help indeed not being-able because-of the
προκαταληφθῆναι τοὺς εὐφυεῖς τόπους, σπεύδοντες δὲ
to-have-been-seized-first the favorable places hastening and
λῦσαι τὴν πολιορκίαν τῶν Ἀχερρῶν, μέρος τι τῆς
to-raise the siege — of-Acerrae part some of-the
δυνάμεως διαβιβάσαντες τὸν Πάδον εἰς τὴν τῶν Ἀνάρων
force having-taken-across the Padus into the of-the Anares
χώραν ἐπολιόρκουν τὸ προσαγορευόμενον Κλαστίδιον.
country besieged the called Clastidium
προσπεσόντος δὲ τοῦ συμβαίνοντος τοῖς στρατηγοῖς, 34.6
having-been-reported and the happening to-the generals
ἀναλαβὼν τοὺς ἱππεῖς Μάρκος Κλαύδιος καί τινας τῶν
having-taken-up the cavalry Marcus Claudius and some of-the
πεζικῶν ἠπείγετο, σπεύδων βοηθῆσαι τοῖς πολιορκουμένοις.
infantry hurried hastening to-help those being-besieged
οἱ δὲ Κελτοὶ πυθόμενοι τὴν παρουσίαν τῶν ὑπεναντίων, 34.7
the and Celts having-learned the presence of-the enemy
λύσαντες τὴν πολιορκίαν ὑπήντων καὶ παρετάξαντο.
having-raised the siege met-(them) and drew-up
τῶν δὲ Ῥωμαίων αὐτοῖς τοῖς ἱππεῦσιν ἐξ ἐφόδου 34.8
of-the and Romans with-the-very — cavalry at the-first-onset
τολμηρῶς σφίσι προσπεσόντων, τὰς μὲν ἀρχὰς ἀντεῖχον·
boldly on-them having-fallen the indeed beginnings they-held-out
μετὰ δὲ ταῦτα περιισταμένων καὶ κατὰ νώτου καὶ κατὰ
after and these-things surrounding both in rear and on
κέρας, δυσχρηστούμενοι τῇ μάχῃ τέλος ἐτράπησαν ὑπ᾽
flank being-hard-pressed in-the battle at-last were-routed by
αὐτῶν τῶν ἱππέων.
the-very — cavalry

34.9 καὶ πολλοὶ μὲν εἰς τὸν ποταμὸν ἐμπεσόντες ὑπὸ τοῦ
and many indeed into the river having-fallen by the
ῥεύματος διεφθάρησαν, οἱ δὲ πλείους ὑπὸ τῶν πολεμίων
current perished the and most by the enemy
κατεκόπησαν.
were-cut-down

34.10 ἔλαβον δὲ καὶ τὰς Ἀχέρρας οἱ Ῥωμαῖοι σίτου γεμούσας,
took and also — Acerrae the Romans with-grain full
ἐκχωρησάντων εἰς τὸ Μεδιόλανον τῶν Γαλατῶν, ὅσπερ
having-withdrawn to — Mediolanum the Gauls which
ἐστὶ κυριώτατος τόπος τῆς τῶν Ἰνσόμβρων χώρας.
is chief place of-the of-the Insubres country

34.11 οἷς ἐκ ποδὸς ἐπακολουθήσαντος τοῦ Γναίου καὶ
whom at heel having-followed — Gnaeus and
προσβαλόντος ἄφνω πρὸς τὸ Μεδιόλανον, τὸ μὲν πρῶτον
having-attacked suddenly at — Mediolanum the indeed first
ἡσυχίαν ἔσχον·
quiet they-kept

34.12 ἀπολυομένου δ' αὐτοῦ πάλιν εἰς τὰς Ἀχέρρας, ἐπεξελθόντες
withdrawing and him again to — Acerrae having-sallied-out
καὶ τῆς οὐραγίας ἁψάμενοι θρασέως πολλοὺς μὲν νεκροὺς
and the rearguard having-attacked boldly many indeed corpses
ἐποίησαν, μέρος δέ τι καὶ φυγεῖν αὐτῶν ἠνάγκασαν,
they-made part and some also to-flee of-them they-compelled

34.13 ἕως ὁ Γνάιος ἀνακαλεσάμενος τοὺς ἐκ τῆς πρωτοπορείας
until — Gnaeus having-called-back those from the vanguard
παρώρμησε στῆναι καὶ συμβαλεῖν τοῖς πολεμίοις.
urged to-stand and to-engage the enemy

34.14 οἱ μὲν οὖν Ῥωμαῖοι πειθαρχήσαντες τῷ στρατηγῷ
the indeed therefore Romans having-obeyed the general
διεμάχοντο πρὸς τοὺς ἐπικειμένους εὐρώστως.
fought-it-out against those pressing-on vigorously

οἱ δὲ Κελτοὶ διὰ τὸ παρὸν εὐτύχημα μείναντες ἐπὶ 34.15
the and Celts because-of the present success having-remained for
ποσὸν εὐθαρσῶς, μετ᾽ οὐ πολὺ τραπέντες ἔφευγον εἰς
a-while confidently after not long having-been-routed fled to
τὰς παρωρείας. ὁ δὲ Γνάιος ἐπακολουθήσας τήν τε
the foothills — and Gnaeus having-followed the both
χώραν ἐπόρθει καὶ τὸ Μεδιόλανον εἷλε κατὰ κράτος.
country ravaged and — Mediolanum took by force
οὗ συμβαίνοντος οἱ προεστῶτες τῶν Ἰνσόμβρων 35.1
which happening the leaders of-the Insubres
ἀπογνόντες τὰς τῆς σωτηρίας ἐλπίδας πάντα τὰ
having-despaired-of the of-the safety hopes all the-things
καθ᾽ αὑτοὺς ἐπέτρεψαν τοῖς Ῥωμαίοις.
concerning themselves entrusted to-the Romans
ὁ μὲν οὖν πρὸς τοὺς Κελτοὺς πόλεμος τοιοῦτον ἔσχε 35.2
the indeed therefore against the Celts war such had
τὸ τέλος, κατὰ μὲν τὴν ἀπόνοιαν καὶ τόλμαν τῶν
the end in indeed the desperation and daring of-the
ἀγωνιζομένων ἀνδρῶν, ἔτι δὲ κατὰ τὰς μάχας καὶ τὸ
fighting men still and in the battles and the
πλῆθος τῶν ἐν αὐταῖς ἀπολλυμένων καὶ παραταττομένων
number of-those in them perishing and drawn-up
οὐδενὸς καταδεέστερος τῶν ἱστορημένων,
than-none inferior of-the recorded
κατὰ δὲ τὰς ἐπιβολὰς καὶ τὴν ἀκρισίαν τοῦ κατὰ 35.3
in and the designs and the lack-of-judgment of-the in
μέρος χειρισμοῦ τελέως εὐκαταφρόνητος διὰ τὸ μὴ
detail management wholly contemptible because-of the not
τὸ πλεῖον ἀλλὰ συλλήβδην ἅπαν τὸ γινόμενον ὑπὸ τῶν
the most but in-short all the happening by the
Γαλατῶν θυμῷ μᾶλλον ἢ λογισμῷ βραβεύεσθαι.
Gauls by-passion rather than by-reason to-be-directed

35.4 περὶ ὧν ἡμεῖς συνθεωρήσαντες μετ᾽ ὀλίγον χρόνον αὐτοὺς
about which we having-observed after little time them
ἐκ τῶν περὶ τὸν Πάδον πεδίων ἐξωσθέντας, πλὴν
from the about the Padus plains thrust-out except
ὀλίγων τόπων τῶν ὑπ᾽ αὐτὰς τὰς Ἄλπεις κειμένων,
few places those under the-very — Alps lying
οὐκ ᾠήθημεν δεῖν οὔτε τὴν ἐξ ἀρχῆς ἔφοδον αὐτῶν
not we-thought it-needful either the from beginning attack their
ἀμνημόνευτον παραλιπεῖν οὔτε τὰς μετὰ ταῦτα πράξεις
unmentioned to-leave nor the after these-things deeds
οὔτε τὴν τελευταίαν ἐξανάστασιν,
nor the last expulsion

35.5 ὑπολαμβάνοντες οἰκεῖον ἱστορίας ὑπάρχειν τὰ τοιαῦτ᾽
supposing proper to-history to-be the such
ἐπεισόδια τῆς τύχης εἰς μνήμην ἄγειν καὶ παράδοσιν
episodes of-the fortune into memory to-bring and tradition
τοῖς ἐπιγινομένοις,
for-those coming-after

35.6 ἵνα μὴ τελέως οἱ μεθ᾽ ἡμᾶς ἀνεννόητοι τούτων
so-that not wholly those after us ignorant of-these
ὑπάρχοντες ἐκπλήττωνται τὰς αἰφνιδίους καὶ παραλόγους
being be-terrified-at the sudden and unexpected
τῶν βαρβάρων ἐφόδους, ἀλλ᾽ ἐπὶ ποσὸν ἐν νῷ λαμβάνοντες
of-the barbarians attacks but for a-while in mind taking
ὡς ὀλιγοχρόνιόν ἐστι καὶ λίαν εὔφθαρτον τὸ τῶν
how short-lived it-is and very perishable the of-the
βαρβάρων πλῆθος τοῖς σὺν νῷ κινδυνεύουσι τὴν ἔφοδον
barbarians mass for-those with mind risking the attack
αὐτῶν ὑπομένωσι καὶ πάσας ἐξελέγχωσι τὰς σφετέρας
their they-may-withstand and all test the own
ἐλπίδας πρότερον ἢ παραχωρῆσαί τινος τῶν ἀναγκαίων.
hopes before than to-yield anything of-the necessary-things

καὶ γὰρ τοὺς τὴν Περσῶν ἔφοδον ἐπὶ τὴν Ἑλλάδα καὶ 35.7
and for those the of-Persians attack on — Greece and
Γαλατῶν ἐπὶ Δελφοὺς εἰς μνήμην καὶ παράδοσιν ἡμῖν
of-Gauls on Delphi into memory and tradition for-us
ἀγαγόντας οὐ μικρὰ μεγάλα δ' οἶομαι συμβεβλῆσθαι πρὸς
having-brought not small-things great but I-think to-have-contributed to
τοὺς ὑπὲρ τῆς κοινῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀγῶνας.
the for the common of-the Greeks freedom struggles
οὔτε γὰρ χορηγιῶν οὔθ' ὅπλων οὔτ' ἀνδρῶν πλῆθος 35.8
neither for of-supplies nor of-arms nor of-men number
καταπλαγεὶς ἄν τις ἀποσταίη τῆς τελευταίας ἐλπίδος,
terrified — anyone would-desist-from the last hope
τοῦ διαγωνίζεσθαι περὶ τῆς σφετέρας χώρας καὶ πατρίδος,
of-the to-fight-it-out about the own country and fatherland
λαμβάνων πρὸ ὀφθαλμῶν τὸ παράδοξον τῶν τότε
taking before eyes the unexpectedness of-the then
γενομένων καὶ μνημονεύσας ὅσας μυριάδας καὶ τίνας
happened-things and remembering how-many myriads and what
τόλμας καὶ πηλίκας παρασκευὰς ἡ τῶν σὺν νῷ καὶ
daring and how-great preparations the of-those with mind and
μετὰ λογισμοῦ κινδυνευόντων αἵρεσις καὶ δύναμις καθεῖλεν.
with reason risking choice and power brought-down
ὁ δ' ἀπὸ Γαλατῶν φόβος οὐ μόνον τὸ παλαιὸν ἀλλὰ 35.9
the and from Gauls fear not only the old-times but
καὶ καθ' ἡμᾶς ἤδη πλεονάκις ἐξέπληξε τοὺς Ἕλληνας.
also in our(-time) already many-times terrified the Greeks
διὸ καὶ μᾶλλον ἔγωγε παρωρμήθην ἐπὶ τὸ κεφαλαιώδη 35.10
wherefore also more I was-urged to the summary
μὲν ἀνέκαθεν δὲ ποιήσασθαι τὴν ὑπὲρ τούτων ἐξήγησιν.
indeed from-the-beginning but to-make the about these narrative

Hasdrubal is murdered, and Hannibal, still young, is given command in Spain, plainly bent on war with Rome. As the Social War begins, Polybius turns to Greece, where the Achaeans have united the Peloponnese under common laws, coinage, and magistrates. The cause, he argues, is not fortune but their principle of equality and free speech, trusted even in the Pythagorean troubles in Italy. Refounded about 280 BC, the League grows under Aratus of Sicyon, who frees his city, takes the Acrocorinth from Antigonus Gonatas, and works to drive out the Macedonians and the tyrants, resisting Antigonus and the Aetolians alike.

36.1 Ἀσδρούβας δ' ὁ τῶν Καρχηδονίων στρατηγός — ἀπὸ
Hasdrubal and the of-the Carthaginians general from
γὰρ τούτων παρεξέβημεν τῆς ἐξηγήσεως — ἔτη χειρίσας
for these we-digressed of-the narrative years having-managed
ὀκτὼ τὰ κατὰ τὴν Ἰβηρίαν ἐτελεύτησε, δολοφονηθεὶς ἐν
eight the in — Iberia died murdered in
τοῖς ἑαυτοῦ καταλύμασι νυκτὸς ὑπό τινος Κελτοῦ τὸ
the his-own lodgings by-night by some Celt in-the
γένος ἰδίων ἕνεκεν ἀδικημάτων,
race private for-the-sake-of wrongs

36.2 οὐ μικρὰν ἀλλὰ μεγάλην ποιήσας ἐπίδοσιν τοῖς Καρχηδονίοις
not small but great having-made increase to-the Carthaginian
πράγμασιν, οὐχ οὕτω διὰ τῶν πολεμίων ἔργων ὡς διὰ
affairs not so through the warlike deeds as through
τῆς πρὸς τοὺς δυνάστας ὁμιλίας.
the with the dynasts intercourse

36.3 τὴν δὲ στρατηγίαν οἱ Καρχηδόνιοι τῶν κατὰ τὴν
the and command the Carthaginians of-the-things in —
Ἰβηρίαν Ἀννίβᾳ περιέθεσαν, ὄντι νέῳ, διὰ τὴν
Iberia on-Hannibal conferred being young because-of the

ὑποφαινομένην ἐκ τῶν πράξεων ἀγχίνοιαν αὐτοῦ καὶ
appearing from the actions shrewdness his and
τόλμαν.
daring
ὃς παραλαβὼν τὴν ἀρχὴν εὐθέως δῆλος ἦν ἐκ τῶν 36.4
who having-taken-over the office straightway evident was from the
ἐπινοημάτων πόλεμον ἐξοίσων Ῥωμαίοις. ὃ δὴ
plans war to-be-going-to-bring-on against-Romans which indeed
καὶ τέλος ἐποίησε, πάνυ βραχὺν ἐπισχὼν χρόνον.
also at-last be-did very short having-waited time
τὰ μὲν οὖν κατὰ Καρχηδονίους καὶ Ῥωμαίους ἀπὸ 36.5
the-relations indeed therefore between Carthaginians and Romans from
τούτων ἤδη τῶν καιρῶν ἐν ὑποψίαις ἦν πρὸς ἀλλήλους
these already the times in suspicions were toward one-another
καὶ παρατριβαῖς.
and frictions
οἱ μὲν γὰρ ἐπεβούλευον, ἀμύνασθαι σπεύδοντες 36.6
the-ones indeed for plotted to-avenge-themselves hastening
διὰ τὰς περὶ Σικελίαν ἐλαττώσεις, οἱ δὲ Ῥωμαῖοι
because-of the about Sicily defeats the and Romans
διηπίστουν, θεωροῦντες αὐτῶν τὰς ἐπιβολάς.
distrusted seeing their the designs
ἐξ ὧν δῆλον ἦν τοῖς ὀρθῶς σκοπουμένοις ὅτι μέλλουσι 36.7
from which clear was to-those rightly considering that they-are-about
πολεμεῖν ἀλλήλοις οὐ μετὰ πολὺν χρόνον.
to-make-war with-one-another not after long time
κατὰ δὲ τοὺς αὐτοὺς καιροὺς Ἀχαιοὶ καὶ Φίλιππος ὁ 37.1
at and the same times Achaeans and Philip the
βασιλεὺς ἅμα τοῖς ἄλλοις συμμάχοις συνίσταντο τὸν
king together-with the other allies began the
πρὸς Αἰτωλοὺς πόλεμον τὸν προσαγορευθέντα συμμαχικόν.
against Aetolians war the called social

37.2 ἡμεῖς δ' ἐπειδὴ τάς τε περὶ Σικελίαν καὶ Λιβύην
we and since the both about Sicily and Libya
καὶ τὰς ἑξῆς πράξεις διεξιόντες κατὰ τὸ συνεχὲς
and the following actions going-through according-to the continuity
τῆς προκατασκευῆς ἤκομεν ἐπὶ τὴν ἀρχὴν τοῦ τε
of-the introduction we-have-come to the beginning of-the both
συμμαχικοῦ καὶ τοῦ δευτέρου συστάντος μὲν Ῥωμαίοις καὶ
social and the second having-arisen indeed for-Romans and
Καρχηδονίοις πολέμου, προσαγορευθέντος δὲ παρὰ τοῖς
Carthaginians war called and by the
πλείστοις Ἀννιβιακοῦ, κατὰ δὲ τὴν ἐξ ἀρχῆς πρόθεσιν
most Hannibalic according-to and the from beginning plan
ἀπὸ τούτων τῶν καιρῶν ἐπηγγειλάμεθα ποιήσασθαι τὴν
from these the times we-announced to-make the
ἀρχὴν τῆς ἑαυτῶν συντάξεως,
beginning of-the our-own composition

37.3 πρέπον ἂν εἴη τούτων ἀφεμένους ἐπὶ τὰς κατὰ τὴν
fitting — it-would-be these having-left to the in —
Ἑλλάδα μεταβαίνειν πράξεις, ἵνα πανταχόθεν ὁμοίαν
Greece to-pass actions so-that from-all-sides similar
ποιησάμενοι τὴν προκατασκευὴν καὶ τὴν ἔφοδον ἐπὶ τοὺς
having-made the introduction and the approach to the
αὐτοὺς καιροὺς οὕτως ἤδη τῆς ἀποδεικτικῆς ἱστορίας
same times so already of-the demonstrative history
ἀρχώμεθα.
we-may-begin

37.4 ἐπεὶ γὰρ οὐ τινὰς πράξεις, καθάπερ οἱ πρὸ ἡμῶν,
since for not some actions as those before us
οἷον τὰς Ἑλληνικὰς ἢ Περσικάς, ὁμοῦ δὲ τὰς ἐν
such-as the Greek or Persian together but the in
τοῖς γνωριζομένοις μέρεσι τῆς οἰκουμένης ἀναγράφειν
the known parts of-the inhabited-world to-record

ἐπικεχειρήκαμεν διὰ τὸ πρὸς τοῦτο τὸ μέρος τῆς
we-have-undertaken because-of the to this the part of-the
ὑποθέσεως ἴδιόν τι συμβεβλῆσθαι τοὺς καθ' ἡμᾶς
subject peculiar something to-have-contributed the in our
καιρούς, ὑπὲρ ὧν σαφέστερον ἐν ἑτέροις δηλώσομεν,
times about which more-clearly in other-places we-shall-show
δέον ἂν εἴη καὶ πρὸ τῆς κατασκευῆς ἐπὶ βραχὺ 37.5
needful — it-would-be also before the composition for a-little
τῶν ἐπιφανεστάτων καὶ γνωριζομένων ἐθνῶν καὶ τόπων
of-the most-notable and known nations and places
ἐφάψασθαι τῆς οἰκουμένης.
to-touch of-the inhabited-world
περὶ μὲν οὖν τῶν κατὰ τὴν Ἀσίαν καὶ τῶν 37.6
about indeed therefore the-things in — Asia and the-things
κατὰ τὴν Αἴγυπτον ἀρκούντως ἂν ἔχοι ποιεῖσθαι τὴν
in — Egypt sufficiently — it-would-be to-make the
ἀνάμνησιν ἀπὸ τῶν νῦν ῥηθέντων καιρῶν διὰ τὸ
mention from the now mentioned times because-of the
τὴν μὲν ὑπὲρ τῶν προγεγονότων παρ' αὐτοῖς ἱστορίαν
the indeed about the earlier-events among them history
ὑπὸ πλειόνων ἐκδεδόσθαι καὶ γνώριμον ὑπάρχειν
by many to-have-been-published and known to-be
ἅπασιν, ἐν δὲ τοῖς καθ' ἡμᾶς καιροῖς μηδὲν αὐτοῖς
to-all in and the in our times nothing to-them
ἐξηλλαγμένον ἀπηντῆσθαι μηδὲ παράλογον ὑπὸ τῆς τύχης
extraordinary to-have-occurred nor unexpected by the fortune
ὥστε προσδεῖσθαι τῆς τῶν προγεγονότων ὑπομνήσεως.
so-that to-need-besides the of-the earlier-events reminder

καὶ τὴν λοιπὴν εὔνοιαν αὐτοῦ καὶ προθυμίαν διασαφούντων,
and the other goodwill his and zeal making-clear
μετεωρισθέντες οἱ Μεγαλοπολῖται προθύμως ἔσχον 50.4
elated the Megalopolitans eagerly were-disposed
ἰέναι πρὸς τὴν σύνοδον τῶν Ἀχαιῶν καὶ παρακαλεῖν
to-go to the assembly of-the Achaeans and to-urge

ἐπισπάσασθαι τὸν Ἀντίγονον καὶ τὰ πράγματα κατὰ
to-call-in — Antigonus and the affairs in
σπουδὴν ἐγχειρίζειν αὐτῷ.
haste to-entrust to-him

50.5 ὁ δ' Ἄρατος διακούσας κατ' ἰδίαν τῶν περὶ τὸν Νικοφάνη
— and Aratus having-heard in private from-those about — Nicophanes
τὴν τοῦ βασιλέως αἵρεσιν, ἣν ἔχοι πρός τε τοὺς Ἀχαιοὺς
the of-the king disposition which he-had toward both the Achaeans
καὶ πρὸς αὐτόν, περιχαρ�ὴς ἦν τῷ μὴ διὰ κενῆς πεποιῆσθαι
and toward himself overjoyed was by-the not in vain to-have-made
τὴν ἐπίνοιαν μηδ' εὑρῆσθαι κατὰ τὴν τῶν Αἰτωλῶν
the plan nor to-have-been-found according-to the of-the Aetolians
ἐλπίδα τὸν Ἀντίγονον εἰς τέλος ἀπηλλοτριωμένον ἑαυτοῦ.
hope — Antigonus to the-end estranged from-himself

50.6 πάνυ δὲ πρὸς λόγον ἡγεῖτο γίνεσθαι καὶ τὸ τοὺς
very and to reason he-thought to-happen also the the
Μεγαλοπολίτας προθύμους εἶναι διὰ τῶν Ἀχαιῶν φέρειν
Megalopolitans eager to-be through the Achaeans to-bring
ἐπὶ τὸν Ἀντίγονον τὰ πράγματα.
to — Antigonus the affairs

50.7 μάλιστα μὲν γάρ, ὡς ἐπάνω προεῖπον, ἔσπευδεν μὴ
most indeed for as above I-said-before he-was-eager not
προσδεηθῆναι τῆς βοηθείας· εἰ δ' ἐξ ἀνάγκης ἐπὶ τοῦτο
to-need-in-addition the help if but from necessity to this
δέοι καταφεύγειν, οὐ μόνον ἠβούλετο δι' αὑτοῦ
it-should-be-needful to-take-refuge not only he-wished through himself
γενέσθαι τὴν κλῆσιν, ἔτι δὲ μᾶλλον ἐξ ἁπάντων τῶν
to-happen the invitation still and more from all the
Ἀχαιῶν.
Achaeans

ἠγωνία γάρ, εἰ παραγενόμενος ὁ βασιλεὺς καὶ κρατήσας 50.8
he-was-anxious for if having-come the king and having-defeated
τῷ πολέμῳ τοῦ Κλεομένους καὶ τῶν Λακεδαιμονίων
in-the war — Cleomenes and the Lacedaemonians
ἀλλοιότερόν τι βουλεύσοιτο περὶ τῆς κοινῆς πολιτείας,
rather-different something should-plan about the common constitution
μή ποθ' ὁμολογουμένως τῶν συμβαινόντων αὐτὸς ἀναλάβῃ
lest ever admittedly of-the things-happening he-himself take-up
τὴν αἰτίαν,
the blame
δόξαντος δικαίως τοῦτο πράττειν διὰ τὴν ἐξ αὐτοῦ 50.9
having-seemed justly this to-do because-of the from him
προγεγενημένην ἀδικίαν περὶ τὸν Ἀκροκόρινθον εἰς τὴν
previous wrong about — Acrocorinth against the
Μακεδόνων οἰκίαν.
of-Macedonians house
διόπερ ἅμα τῷ παρελθόντας τοὺς Μεγαλοπολίτας εἰς 50.10
wherefore at-once with-the having-come-forward the Megalopolitans into
τὸ κοινὸν βουλευτήριον τά τε γράμματα τοῖς Ἀχαιοῖς
the common council-house the both letters to-the Achaeans
ἐπιδεικνύναι καὶ διασαφεῖν τὴν ὅλην εὔνοιαν τοῦ βασιλέως,
to-show and to-make-clear the whole goodwill of-the king
πρὸς δὲ τούτοις ἀξιοῦν ἐπισπάσασθαι τὸν Ἀντίγονον τὴν
besides and these to-ask to-call-in — Antigonus the
ταχίστην, εἶναι δὲ καὶ τὸ πλῆθος ἐπὶ τῆς αὐτῆς ὁρμῆς,
quickest to-be and also the multitude on the same impulse
προελθὼν Ἄρατος καὶ τήν τε τοῦ βασιλέως προθυμίαν 50.11
having-come-forward Aratus and the both of-the king zeal
ἀποδεξάμενος καὶ τὴν τῶν πολλῶν διάληψιν ἐπαινέσας
having-welcomed and the of-the many judgment having-praised
παρεκάλει διὰ πλειόνων μάλιστα μὲν πειρᾶσθαι δι'
he-urged through more-words most indeed to-try through

αὐτῶν σῴζειν καὶ τὰς πόλεις καὶ τὴν χώραν· οὐδὲν γὰρ
themselves to-save both the cities and the country nothing for
εἶναι τούτου κάλλιον οὐδὲ συμφορώτερον·
to-be than-this finer nor more-advantageous

50.12 ἐὰν δ' ἄρα πρὸς τοῦτο τὸ μέρος ἀντιβαίνῃ τὰ τῆς
if and after-all against this the part oppose the-things of-the
τύχης, πρότερον ἔφη δεῖν ἐξελέγξαντας πάσας τὰς
fortune first he-said it-was-needful having-tested all the
ἐν αὑτοῖς ἐλπίδας τότε καταφεύγειν ἐπὶ τὰς τῶν φίλων
in themselves hopes then to-take-refuge with the of-the friends
βοηθείας.
help

51.1 ἐπισημηναμένου δὲ τοῦ πλήθους, ἔδοξε μένειν ἐπὶ
having-signified-approval and the multitude it-was-resolved to-abide by
τῶν ὑποκειμένων καὶ δι' αὐτῶν ἐπιτελεῖν τὸν ἐνεστῶτα
the present-plans and through themselves to-accomplish the present
πόλεμον.
war

51.2 ἐπεὶ δὲ Πτολεμαῖος ἀπογνοὺς μὲν τὸ ἔθνος Κλεομένει
when and Ptolemy having-given-up indeed the nation to-Cleomenes
χορηγεῖν ἐπεβάλετο, βουλόμενος αὐτὸν ἐπαλείφειν ἐπὶ
to-supply undertook wishing him to-incite against
τὸν Ἀντίγονον διὰ τὸ πλείους ἐλπίδας ἔχειν ἐν τοῖς
— Antigonus because-of the more hopes to-have in the
Λακεδαιμονίοις ἢπερ ἐν τοῖς Ἀχαιοῖς τοῦ δύνασθαι
Lacedaemonians than in the Achaeans of-the to-be-able
διακατέχειν τὰς τῶν ἐν Μακεδονίᾳ βασιλέων ἐπιβολάς,
to-hold-in-check the of-the in Macedonia kings designs

51.3 οἱ δ' Ἀχαιοὶ τὸ μὲν πρῶτον ἠλαττώθησαν περὶ τὸ
the and Achaeans the indeed first were-worsted about the
Λύκαιον, συμπλακέντες κατὰ πορείαν τῷ Κλεομένει, τὸ
Lycaeum having-engaged on march — with-Cleomenes the

δὲ δεύτερον ἐκ παρατάξεως ἡττήθησαν ἐν τοῖς Λαδοκείοις
and second in pitched-battle were-defeated in — Ladocea
καλουμένοις τῆς Μεγαλοπολίτιδος, ὅτε καὶ Λυδιάδας ἔπεσε,
called of-the Megalopolitan-territory when also Lydiadas fell
τὸ δὲ τρίτον ὁλοσχερῶς ἔπταισαν ἐν τῇ Δυμαίᾳ περὶ
the and third utterly they-failed in the Dymaean-territory about
τὸ καλούμενον Ἑκατόμβαιον, πανδημεὶ διακινδυνεύοντες,
the called Hecatombaeum in-full-force risking-all
τότ' ἤδη τῶν πραγμάτων οὐκέτι διδόντων ἀναστροφὴν 51.4
then already the affairs no-longer giving turning-back
ἠνάγκαζε τὰ περιεστῶτα καταφεύγειν ὁμοθυμαδὸν ἐπὶ τὸν
compelled the circumstances to-take-refuge with-one-accord with —
Ἀντίγονον.
Antigonus
ἐν ᾧ καιρῷ πρεσβευτὴν τὸν υἱὸν ἐξαποστείλας Ἄρατος 51.5
at which time as-envoy the son having-sent-out Aratus
πρὸς Ἀντίγονον ἐβεβαιώσατο τὰ περὶ τῆς βοηθείας.
to Antigonus confirmed the-things about the help
παρεῖχε δ' αὐτοῖς ἀπορίαν καὶ δυσχρηστίαν μεγίστην τὸ 51.6
caused and to-them perplexity and difficulty greatest the
μήτε τὸν βασιλέα δοκεῖν ἂν βοηθῆσαι χωρὶς τοῦ κομίσασθαι
neither the king to-seem — to-help without the to-recover
τὸν Ἀκροκόρινθον καὶ λαβεῖν ὁρμητήριον πρὸς τὸν ἐνεστῶτα
— Acrocorinth and to-get base for the present
πόλεμον τὴν τῶν Κορινθίων πόλιν, μήτε τοὺς Ἀχαιοὺς
war the of-the Corinthians city nor the Achaeans
ἂν τολμῆσαι Κορινθίους ἄκοντας ἐγχειρίσαι Μακεδόσι.
— to-dare Corinthians unwilling to-hand-over to-Macedonians
διὸ καὶ τὸ πρῶτον ὑπέρθεσιν ἔσχε τὸ διαβούλιον 51.7
wherefore also the first postponement had the deliberation
χάριν τῆς περὶ τῶν πίστεων ἐπισκέψεως.
for-the-sake of-the about the pledges examination

52.1 ὁ δὲ Κλεομένης καταπληξάμενος τοῖς προειρημένοις
— *and Cleomenes having-terrified by-the aforementioned*
εὐτυχήμασι λοιπὸν ἀδεῶς ἐπεπορεύετο τὰς πόλεις, ἃς
successes thereafter fearlessly went-over the cities some
μὲν πείθων αἷς δὲ τὸν φόβον ἀνατεινόμενος.
indeed persuading on-others and the fear holding-over
52.2 προσλαβὼν δὲ τῷ τρόπῳ τούτῳ Καφύας, Πελλήνην,
having-gained and in-the way this Caphyae Pellene
Φενεόν, Ἄργος, Φλιοῦντα, Κλεωνάς, Ἐπίδαυρον,
Pheneus Argos Phlius Cleonae Epidaurus
Ἑρμιόνα, Τροίζηνα, τελευταῖον Κόρινθον, αὐτὸς μὲν
Hermione Troezen lastly Corinth himself indeed
προσεστρατοπέδευσε τῇ τῶν Σικυωνίων πόλει, τοὺς δ'
encamped-against the of-the Sicyonians city the and
Ἀχαιοὺς ἀπέλυσε τοῦ μεγίστου προβλήματος.
Achaeans freed from-the greatest difficulty
52.3 τῶν γὰρ Κορινθίων τῷ μὲν Ἀράτῳ στρατηγοῦντι καὶ τοῖς
the for Corinthians — indeed to-Aratus being-general and to-the
Ἀχαιοῖς παραγγειλάντων ἐκ τῆς πόλεως ἀπαλλάττεσθαι,
Achaeans having-ordered from the city to-depart
πρὸς δὲ τὸν Κλεομένη διαπεμπομένων καὶ καλούντων,
to and — Cleomenes sending and calling
παρεδόθη τοῖς Ἀχαιοῖς ἀφορμὴ καὶ πρόφασις εὔλογος.
was-given to-the Achaeans occasion and pretext reasonable
52.4 ἧς ἐπιλαβόμενος Ἄρατος καὶ προτείνας Ἀντιγόνῳ τὸν
which having-seized Aratus and having-offered to-Antigonus —
Ἀκροκόρινθον, κατεχόντων Ἀχαιῶν τότε τὸν τόπον τοῦτον,
Acrocorinth holding Achaeans then the place this
ἔλυσε μὲν τὸ γεγονὸς ἔγκλημα πρὸς τὴν οἰκίαν,
he-removed indeed the having-happened charge against the house
ἱκανὴν δὲ πίστιν παρέσχετο τῆς πρὸς τὰ μέλλοντα
sufficient and pledge he-provided of-the toward the future

κοινωνίας, τὸ δὲ συνέχον, ὁρμητήριον παρεσκεύασεν
partnership the and chief base he-prepared
Ἀντιγόνῳ πρὸς τὸν κατὰ Λακεδαιμονίων πόλεμον.
for-Antigonus for the against Lacedaemonians war
ὁ δὲ Κλεομένης ἐπιγνοὺς τοὺς Ἀχαιοὺς συντιθεμένους 52.5
— and Cleomenes having-learned the Achaeans agreeing
τὰ πρὸς τὸν Ἀντίγονον, ἀναζεύξας ἀπὸ τοῦ Σικυῶνος
the-things toward — Antigonus having-broken-camp from — Sicyon
κατεστρατοπέδευσε περὶ τὸν Ἰσθμόν, διαλαβὼν χάρακι
encamped about — Isthmus having-cut-off with-palisade
καὶ τάφρῳ τὸν μεταξὺ τόπον τοῦ τ' Ἀκροκορίνθου καὶ
and trench the between place — both of-Acrocorinth and
τῶν Ὀνείων καλουμένων ὀρῶν, πᾶσαν ἤδη βεβαίως
of-the Oneian called mountains all already securely
περιειληφὼς ταῖς ἐλπίσι τὴν Πελοποννησίων ἀρχήν.
having-embraced in-the hopes the of-Peloponnesians rule
Ἀντίγονος δὲ πάλαι μὲν ἦν ἐν παρασκευῇ, καραδοκῶν 52.6
Antigonus and long-since indeed was in preparation awaiting
τὸ μέλλον κατὰ τὰς ὑποθέσεις τὰς Ἀράτου·
the future according-to the suggestions the of-Aratus
τότε δὲ συλλογιζόμενος ἐκ τῶν προσπιπτόντων ὅσον 52.7
then and inferring from the things-falling-out as-good-as
οὔπω παρεῖναι τὸν Κλεομένη μετὰ τῆς δυνάμεως εἰς
not-yet to-be-present — Cleomenes with the force in
Θετταλίαν, διαπεμψάμενος πρός τε τὸν Ἄρατον καὶ
Thessaly having-sent to both — Aratus and
τοὺς Ἀχαιοὺς ὑπὲρ τῶν ὡμολογημένων ἥκειν ἔχων τὰς
the Achaeans about the agreed-things he-came having the
δυνάμεις διὰ τῆς Εὐβοίας ἐπὶ τὸν Ἰσθμόν.
forces through — Euboea to — Isthmus

52.8 οἱ γὰρ Αἰτωλοὶ πρὸς τοῖς ἄλλοις καὶ τότε βουλόμενοι
the for Aetolians besides the other-things also then wishing
κωλῦσαι τὸν Ἀντίγονον τῆς βοηθείας, ἀπεῖπον αὐτῷ
to-hinder — Antigonus from-the help forbade him
πορεύεσθαι μετὰ δυνάμεως ἐντὸς Πυλῶν· εἰ δὲ μή, διότι
to-march with force within Thermopylae if but not that
κωλύσουσι μεθ' ὅπλων αὐτοῦ τὴν δίοδον.
they-will-prevent with arms his the passage

52.9 ὁ μὲν οὖν Ἀντίγονος καὶ Κλεομένης ἀντεστρατοπέδευον
— indeed therefore Antigonus and Cleomenes were-encamped-against
ἀλλήλοις, ὁ μὲν εἰσελθεῖν σπουδάζων εἰς Πελοπόννησον,
one-another the-one indeed to-enter hastening into Peloponnese
ὁ δὲ Κλεομένης κωλῦσαι τῆς εἰσόδου τὸν Ἀντίγονον.
the-other and Cleomenes to-prevent from-the entry — Antigonus

II.53–58 · ANTIGONUS IN THE PELOPONNESE; PHYLARCHUS

With Aristotle of Argos the Achaeans seize Argos, which Polybius judges the turning point: Cleomenes falls back to Sparta. Antigonus takes over the Acrocorinth, is made leader of all the allies, and next year takes Tegea, Orchomenus, and Mantinea before wintering at Aegium. Cleomenes then takes Megalopolis by night and destroys it. Polybius attacks Phylarchus, who writes like a tragedian to stir pity and omits causes. Mantinea, once spared by Aratus, slaughtered the Achaean garrison it had asked for, so its sale into slavery was less than it deserved.

53.1 οἱ δ' Ἀχαιοί, καίπερ οὐ μετρίως ἠλαττωμένοι τοῖς ὅλοις,
the and Achaeans although not moderately having-been-worsted in-the whole
ὅμως οὐκ ἀφίσταντο τῆς προθέσεως οὐδ' ἐγκατέλειπον
nevertheless not desisted from-the purpose nor abandoned
τὰς ἐν αὑτοῖς ἐλπίδας,
the in themselves hopes

ἀλλ᾽ ἅμα τῷ τὸν Ἀριστοτέλη τὸν Ἀργεῖον ἐπαναστῆναι 53.2
but at-once with-the — Aristotle the Argive to-rise-up
τοῖς Κλεομενισταῖς βοηθήσαντες καὶ παρεισπεσόντες
against-the Cleomenists having-come-to-help and having-burst-in
μετὰ Τιμοξένου τοῦ στρατηγοῦ κατέλαβον τὴν τῶν
with Timoxenus the general they-seized the of-the
Ἀργείων πόλιν.
Argives city
ὃ δὴ καὶ νομιστέον αἰτιώτατον γεγονέναι πραγμάτων 53.3
which indeed also one-must-consider most-responsible to-have-been of-affairs
κατορθώσεως. τὸ γὰρ ἐπιλαβόμενον τῆς ὁρμῆς τοῦ
success the-thing for having-checked the impulse —
Κλεομένους καὶ προηττῆσαν τὰς ψυχὰς τῶν δυνάμεων
of-Cleomenes and having-beaten-beforehand the spirits of-the forces
τοῦτ᾽ ἦν, ὡς ἐξ αὐτῶν φανερὸν ἐγένετο τῶν πραγμάτων.
this was as from themselves evident became the facts
καὶ γὰρ τόπους εὐφυεστέρους προκατέχων καὶ χορηγίαις 53.4
and for places more-favorable occupying-first and supplies
δαψιλεστέραις Ἀντιγόνου χρώμενος καὶ τόλμῃ καὶ
more-abundant than-Antigonus using and with-daring and
φιλοτιμίᾳ μείζονι παρωρμημένος,
with-ambition greater urged-on
ὅμως ἅμα τῷ προσπεσεῖν αὐτῷ διότι κατειλῆφθαι 53.5
nevertheless at-once with-the to-be-reported to-him that to-have-been-taken
συμβαίνει τὴν τῶν Ἀργείων πόλιν ὑπὸ τῶν Ἀχαιῶν, εὐθὺς
it-happens the of-the Argives city by the Achaeans straightway
ἀνάσπαστος, ἀπολιπὼν τὰ προδεδηλωμένα προτερήματα,
hastily-retreating having-left the previously-mentioned advantages
φυγῇ παραπλησίαν ἐποιεῖτο τὴν ἀποχώρησιν, δείσας μὴ
to-flight similar he-made the withdrawal having-feared lest
πανταχόθεν αὐτὸν περιστῶσιν οἱ πολέμιοι.
from-all-sides him surround the enemy

53.6 παραπεσὼν δ᾽ εἰς Ἄργος καὶ κατὰ ποσὸν ἀντιποιησάμενος
having-slipped and into Argos and for a-while having-contested
τῆς πόλεως, μετὰ ταῦτα γενναίως μὲν τῶν Ἀχαιῶν,
the city after these-things nobly indeed the Achaeans
φιλοτίμως δὲ τῶν Ἀργείων ἐκ μεταμελείας αὐτὸν
ambitiously and the Argives from repentance him
ἀμυναμένων, ἀποπεσὼν καὶ ταύτης τῆς ἐπιβολῆς καὶ
having-repelled having-failed also of-this the design and
ποιησάμενος τὴν πορείαν διὰ Μαντινείας οὕτως ἐπανῆλθεν
having-made the march through Mantinea so he-returned
εἰς τὴν Σπάρτην.
to — Sparta

54.1 ὁ δ᾽ Ἀντίγονος ἀσφαλῶς εἰς τὴν Πελοπόννησον εἰσελθὼν
— and Antigonus safely into the Peloponnese having-entered
παρέλαβε τὸν Ἀκροκόρινθον, οὐδένα δὲ χρόνον μείνας
took-over — Acrocorinth no and time having-stayed
εἶχετο τῶν προκειμένων καὶ παρῆν εἰς Ἄργος.
he-held-to the matters-at-hand and came to Argos

54.2 ἐπαινέσας δὲ τοὺς Ἀργείους καὶ καταστησάμενος τὰ
having-praised and the Argives and having-settled the-things
κατὰ τὴν πόλιν αὖθις ἐκ ποδὸς ἐκίνει, ποιούμενος τὴν
in the city again on (the)-spot he-moved making the
πορείαν ὡς ἐπ᾽ Ἀρκαδίας.
march as toward Arcadia

54.3 ἐκβαλὼν δὲ τὰς φρουρὰς ἐκ τῶν ἐποικοδομηθέντων
having-driven-out and the garrisons from the built
χωρίων ὑπὸ Κλεομένους κατά τε τὴν Αἰγῦτιν καὶ Βελμινᾶτιν
places by Cleomenes in both — Aegytis and Belminatis
χώραν καὶ παραδοὺς τὰ φρούρια Μεγαλοπολίταις ἦκε
country and having-handed-over the forts to-Megalopolitans he-came
πρὸς τὴν τῶν Ἀχαιῶν σύνοδον εἰς Αἴγιον.
to the of-the Achaeans assembly at Aegium

ἀπολογισάμενος δὲ περὶ τῶν καθ᾽ αὑτὸν καὶ 54.4
having-given-account and about the-things concerning himself and
χρηματίσας περὶ τῶν μελλόντων, ἔτι δὲ κατασταθεὶς
having-negotiated about the future further and having-been-appointed
ἡγεμὼν ἁπάντων τῶν συμμάχων,
leader of-all the allies
μετὰ ταῦτα χρόνον μέν τινα παραχειμάζων διέτριβε περὶ 54.5
after these-things time indeed some wintering he-stayed about
Σικυῶνα καὶ Κόρινθον. τῆς δ᾽ ἐαρινῆς ὥρας ἐνισταμένης
Sicyon and Corinth the and spring season beginning
ἀναλαβὼν τὰς δυνάμεις προῆγε.
having-taken-up the forces he-advanced
καὶ διανύσας τριταῖος πρὸς τὴν τῶν Τεγεατῶν πόλιν, 54.6
and having-arrived on-the-third-day at the of-the Tegeans city
ἀπηντηκότων καὶ τῶν Ἀχαιῶν ἐνταῦθα, περιστρατοπεδεύσας
having-met-(him) also the Achaeans there having-encamped-around
ἤρξατο πολιορκεῖν αὐτήν.
he-began to-besiege it
τῶν δὲ Μακεδόνων ἐνεργῶς χρωμένων τῇ τε λοιπῇ 54.7
the and Macedonians energetically using the both other
πολιορκίᾳ καὶ τοῖς ὀρύγμασι, ταχέως ἀπελπίσαντες οἱ
siege and the mines quickly having-despaired-of the
Τεγεᾶται τὴν σωτηρίαν παρέδοσαν αὑτούς.
Tegeans the safety surrendered themselves
ὁ δ᾽ Ἀντίγονος ἀσφαλισάμενος τὰ κατὰ τὴν πόλιν 54.8
— and Antigonus having-secured the-things in the city
εἶχετο κατὰ τὸ συνεχὲς τῶν ἑξῆς καὶ προῆγε κατὰ
held-to in the continuity of-the next(-steps) and advanced in
σπουδὴν εἰς τὴν Λακωνικήν.
haste into — Laconia

54.9 ἐγγίσας δὲ τῷ Κλεομένει προκαθημένῳ τῆς ἑαυτοῦ
having-approached and — Cleomenes stationed-in-front-of the his-own
χώρας κατεπείραζε καὶ συνίστατό τινας ἀκροβολισμούς.
country he-made-trial and engaged-in some skirmishes

54.10 προσπεσόντος δὲ διὰ τῶν κατασκόπων αὐτῷ τοὺς
having-been-reported and through the scouts to-him the
ἐξ Ὀρχομενοῦ στρατιώτας παραβεβοηθηκέναι πρὸς τὸν
from Orchomenus soldiers to-have-come-to-help to —
Κλεομένη, παραυτίκα ποιησάμενος ἀναζυγὴν ἠπείγετο.
Cleomenes at-once having-made a-departure he-hurried

54.11 καὶ τὸν μὲν Ὀρχομενὸν ἐξ ἐφόδου κατὰ κράτος εἷλε·
and — indeed Orchomenus at the-first-onset by force he-took
μετὰ δὲ ταῦτα περιστρατοπεδεύσας τὴν τῶν Μαντινέων
after and these-things having-encamped-around the of-the Mantineans
ἐπολιόρκει πόλιν.
he-besieged city

54.12 ταχὺ δὲ καὶ ταύτην καταπληξαμένων τῶν Μακεδόνων
quickly and also this having-terrified the Macedonians
καὶ λαβόντων ὑποχείριον, ἀναζεύξας προῆγε τὴν
and having-taken subject having-broken-camp he-advanced the(-road)
ἐφ' Ἡραίας καὶ Τελφούσης.
toward Heraea and Telphusa

54.13 παραλαβὼν δὲ καὶ ταύτας τὰς πόλεις, ἐθελοντὴν
having-taken-over and also these the cities voluntarily
προσχωρησάντων αὐτῷ τῶν κατοικούντων, οὕτως ἤδη
having-come-over to-him the inhabitants so already
συνάπτοντος τοῦ χειμῶνος παρῆν εἰς Αἴγιον πρὸς τὴν
approaching the winter he-came to Aegium to the
τῶν Ἀχαιῶν σύνοδον.
of-the Achaeans assembly

καὶ τοὺς μὲν Μακεδόνας ἐπ᾽ οἴκου διαφῆκε πάντας εἰς 54.14
and the indeed Macedonians to home dismissed all for
τὴν χειμασίαν, αὐτὸς δὲ τοῖς Ἀχαιοῖς διελέγετο καὶ
the wintering he-himself and with-the Achaeans conferred and
συνδιενοεῖτο περὶ τῶν ἐνεστώτων.
deliberated about the present-matters
κατὰ δὲ τοὺς καιροὺς τούτους συνθεωρῶν ὁ Κλεομένης 55.1
at and the times these observing — Cleomenes
τὰς μὲν δυνάμεις διαφειμένας, τὸν δ᾽ Ἀντίγονον μετὰ
the indeed forces dismissed — and Antigonus with
τῶν μισθοφόρων ἐν Αἰγίῳ διατρίβοντα καὶ τριῶν ἡμερῶν
the mercenaries in Aegium staying and of-three days
ὁδὸν ἀφεστῶτα τῆς Μεγάλης πόλεως,
journey being-distant from-the Great city
τὴν δὲ πόλιν ταύτην εἰδὼς δυσφύλακτον οὖσαν διὰ τὸ 55.2
the and city this knowing hard-to-guard being because-of the
μέγεθος καὶ τὴν ἐρημίαν, τότε δὲ καὶ ῥᾳθύμως τηρουμένην
size and the emptiness then and also carelessly being-watched
διὰ τὴν Ἀντιγόνου παρουσίαν, τὸ δὲ μέγιστον,
because-of the of-Antigonus presence the and greatest
ἀπολωλότας τοὺς πλείστους τῶν ἐν ταῖς ἡλικίαις ἔν τε
having-perished the most of-those in the (military)-ages in both
τῇ περὶ τὸ Λύκαιον καὶ μετὰ ταῦτα τῇ περὶ Λαδόκεια μάχῃ,
the about the Lycaeum and after these-things the about Ladocea battle
λαβὼν συνεργούς τινας τῶν ἐκ Μεσσήνης φυγάδων, οἳ 55.3
having-taken accomplices some of-the from Messene exiles who
διατρίβοντες ἐτύγχανον ἐν τῇ Μεγάλῃ πόλει, παρεισῆλθε
living happened-to-be in the Great city he-slipped-in
διὰ τούτων λάθρᾳ νυκτὸς ἐντὸς τῶν τειχῶν.
through these secretly by-night within the walls

55.4 τῆς δ' ἡμέρας ἐπιγενομένης παρ' ὀλίγον ἦλθε τοῦ μὴ
the and day having-come by little he-came to-the not
μόνον ἐκπεσεῖν, ἀλλὰ καὶ τοῖς ὅλοις κινδυνεῦσαι διὰ
only to-be-driven-out but also in-the whole to-be-endangered because-of
τὴν εὐψυχίαν τῶν Μεγαλοπολιτῶν.
the courage of-the Megalopolitans

55.5 ὃ δὴ καὶ τρισὶ μησὶ πρότερον αὐτῷ συνέβη παθεῖν
which indeed also three months before to-him happened to-suffer
παρεισπεσόντι κατὰ τὸν Κωλαιὸν προσαγορευόμενον τόπον
having-slipped-in at — Colaeum called place
τῆς πόλεως.
of-the city

55.6 τότε δὲ τῷ πλήθει τῆς δυνάμεως καὶ τῷ
then and by-the number of-the force and by-the
προκαταλαμβάνεσθαι τοὺς εὐκαίρους τόπους καθίκετο
to-seize-first the favorable places he-attained
τῆς ἐπιβολῆς καὶ πέρας ἐκβαλὼν τοὺς Μεγαλοπολίτας
the design and at-last having-driven-out the Megalopolitans
κατέσχε τὴν πόλιν.
he-occupied the city

55.7 γενόμενος δ' ἐγκρατὴς οὕτως αὐτὴν πικρῶς διέφθειρεν
having-become and master so it bitterly he-destroyed
καὶ δυσμενῶς ὥστε μηδ' ἐλπίσαι μηδένα διότι δύναιτ'
and malignantly that not-even to-hope anyone that it-could
ἂν συνοικισθῆναι πάλιν.
— to-be-resettled again

55.8 τοῦτο δὲ ποιῆσαί μοι δοκεῖ διὰ τὸ κατὰ τὰς τῶν καιρῶν
this and to-have-done to-me seems because-of the in the of-the times
περιστάσεις παρὰ μόνοις Μεγαλοπολίταις καὶ Στυμφαλίοις
circumstances among alone Megalopolitans and Stymphalians

μηδέποτε δυνηθῆναι μήθ' αἱρετιστὴν καὶ κοινωνὸν τῶν
never to-have-been-able neither partisan and sharer of-the
ἰδίων ἐλπίδων μήτε προδότην κατασκευάσασθαι.
own hopes nor traitor to-procure
τὸ μὲν γὰρ Κλειτορίων φιλελεύθερον καὶ γενναῖον εἷς 55.9
the indeed for of-Clitorians freedom-loving and noble one
ἀνὴρ κατῄσχυνε διὰ τὴν ἑαυτοῦ κακίαν, Θεάρκης· ὃν
man disgraced through the his-own wickedness Thearces whom
εἰκότως ἐξαρνοῦνται Κλειτόριοι μὴ φῦναι παρὰ
fittingly deny Clitorians not to-have-been-born among
σφίσι, γενέσθαι δ' ὑποβολιμαῖον ἐξ Ὀρχομενοῦ τῶν
them to-have-been but suppositious from Orchomenus of-the
ἐπηλύδων τινὸς στρατιωτῶν.
immigrant some soldiers
ἐπεὶ δὲ τῶν κατὰ τοὺς αὐτοὺς καιροὺς Ἀράτῳ 56.1
since and of-those in the same times with-Aratus
γεγραφότων παρ' ἐνίοις ἀποδοχῆς ἀξιοῦται Φύλαρχος,
having-written with some of-acceptance is-thought-worthy Phylarchus
ἐν πολλοῖς ἀντιδοξῶν καὶ τἀναντία γράφων αὐτῷ,
in many-things disagreeing and the-contrary writing to-him
χρήσιμον ἂν εἴη, μᾶλλον δ' ἀναγκαῖον ἡμῖν, Ἀράτῳ 56.2
useful — it-would-be rather and necessary for-us Aratus
προῃρημένοις κατακολουθεῖν περὶ τῶν Κλεομενικῶν, μὴ
having-chosen to-follow about the Cleomenic-affairs not
παραλιπεῖν ἄσκεπτον τοῦτο τὸ μέρος, ἵνα μὴ τὸ ψεῦδος
to-leave unexamined this the part so-that not the falsehood
ἐν τοῖς συγγράμμασιν ἰσοδυναμοῦν ἀπολείπωμεν πρὸς τὴν
in the writings equal-in-force we-leave to the
ἀλήθειαν.
truth

56.3 καθόλου μὲν οὖν ὁ συγγραφεὺς οὗτος πολλὰ παρ'
in-general indeed therefore the writer this much throughout
ὅλην τὴν πραγματείαν εἰκῇ καὶ ὡς ἔτυχεν εἴρηκεν.
whole the work at-random and as it-chanced has-said

56.4 πλὴν περὶ μὲν τῶν ἄλλων ἴσως οὐκ ἀναγκαῖον ἐπιτιμᾶν
however about indeed the other-things perhaps not necessary to-censure
κατὰ τὸ παρὸν οὐδ' ἐξακριβοῦν· ὅσα δὲ συνεπιβάλλει
at the present nor to-scrutinize whatever-things but coincides-with
τοῖς ὑφ' ἡμῶν γραφομένοις καιροῖς — ταῦτα δ' ἔστιν
with-the by us being-written times these and are
τὰ περὶ τὸν Κλεομενικὸν πόλεμον — ὑπὲρ τούτων
the-things about the Cleomenic war about these
ἀναγκαῖόν ἐστιν ἡμῖν διευκρινεῖν.
necessary it-is for-us to-examine

56.5 ἔσται δὲ πάντως ἀρκοῦντα ταῦτα πρὸς τὸ καὶ τὴν
will-be and surely sufficient these-things for the also the
ὅλην αὐτοῦ προαίρεσιν καὶ δύναμιν ἐν τῇ πραγματείᾳ
whole his principle and ability in the work
καταμαθεῖν.
to-learn

56.6 βουλόμενος δὴ διασαφεῖν τὴν ὠμότητα τὴν Ἀντιγόνου
wishing indeed to-make-clear the cruelty the of-Antigonus
καὶ Μακεδόνων, ἅμα δὲ τούτοις τὴν Ἀράτου καὶ τῶν
and of-Macedonians together and with-these the of-Aratus and of-the
Ἀχαιῶν, φησὶ τοὺς Μαντινέας γενομένους ὑποχειρίους
Achaeans he-says the Mantineans having-become subjects
μεγάλοις περιπεσεῖν ἀτυχήμασι, καὶ τὴν ἀρχαιοτάτην καὶ
into-great to-have-fallen misfortunes and the most-ancient and
μεγίστην πόλιν τῶν κατὰ τὴν Ἀρκαδίαν τηλικαύταις
greatest city of-those in — Arcadia with-so-great

παλαῖσαι συμφοραῖς ὥστε πάντας εἰς ἐπίστασιν καὶ
to-have-wrestled calamities that all to attention and
δάκρυα τοὺς Ἕλληνας ἀγαγεῖν.
tears the Greeks to-have-brought
σπουδάζων δ' εἰς ἔλεον ἐκκαλεῖσθαι τοὺς ἀναγινώσκοντας 56.7
being-eager and to pity to-call-forth those reading
καὶ συμπαθεῖς ποιεῖν τοῖς λεγομένοις, εἰσάγει περιπλοκὰς
and sympathetic to-make with-the things-said he-introduces embraces
γυναικῶν καὶ κόμας διερριμμένας καὶ μαστῶν ἐκβολάς,
of-women and hair disheveled and of-breasts baring
πρὸς δὲ τούτοις δάκρυα καὶ θρήνους ἀνδρῶν καὶ
in-addition and to-these tears and laments of-men and
γυναικῶν ἀναμὶξ τέκνοις καὶ γονεῦσι γηραιοῖς ἀπαγομένων.
women mingled with-children and parents aged being-led-away
ποιεῖ δὲ τοῦτο παρ' ὅλην τὴν ἱστορίαν, πειρώμενος ἐν 56.8
he-does and this throughout whole the history trying in
ἑκάστοις ἀεὶ πρὸ ὀφθαλμῶν τιθέναι τὰ δεινά.
each-case always before eyes to-place the terrible-things
τὸ μὲν οὖν ἀγεννὲς καὶ γυναικῶδες τῆς αἱρέσεως 56.9
the indeed therefore ignoble and womanish of-the principle
αὐτοῦ παρείσθω, τὸ δὲ τῆς ἱστορίας οἰκεῖον ἅμα καὶ
his let-it-be-passed-over the and of-the history proper at-once and
χρήσιμον ἐξεταζέσθω.
useful let-it-be-examined
δεῖ τοιγαροῦν οὐκ ἐπιπλήττειν τὸν συγγραφέα 56.10
it-is-needful therefore not to-astound the writer
τερατευόμενον διὰ τῆς ἱστορίας τοὺς ἐντυγχάνοντας οὐδὲ
telling-marvels through the history those reading nor
τοὺς ἐνδεχομένους λόγους ζητεῖν καὶ τὰ παρεπόμενα τοῖς
the possible speeches to-seek and the attendant-circumstances to-the
ὑποκειμένοις ἐξαριθμεῖσθαι, καθάπερ οἱ τραγῳδιογράφοι,
subjects to-enumerate as the tragedians

τῶν δὲ πραχθέντων καὶ ῥηθέντων κατ᾽ ἀλήθειαν αὐτῶν
of-the and things-done and things-said in truth themselves
μνημονεύειν πάμπαν, κἂν πάνυ μέτρια τυγχάνωσιν ὄντα.
to-make-mention-of wholly even-if very moderate they-happen being
56.11 τὸ γὰρ τέλος ἱστορίας καὶ τραγῳδίας οὐ ταὐτόν, ἀλλὰ
the for end of-history and of-tragedy not the-same but
τοὐναντίον. ἐκεῖ μὲν γὰρ δεῖ διὰ τῶν πιθανωτάτων
the-contrary there indeed for it-is-needful through the most-persuasive
λόγων ἐκπλῆξαι καὶ ψυχαγωγῆσαι κατὰ τὸ παρὸν τοὺς
words to-astound and to-charm for the present the
ἀκούοντας, ἐνθάδε δὲ διὰ τῶν ἀληθινῶν ἔργων καὶ
hearers here and through the true deeds and
λόγων εἰς τὸν πάντα χρόνον διδάξαι καὶ πεῖσαι τοὺς
words for the all time to-teach and to-persuade the
φιλομαθοῦντας,
lovers-of-learning
56.12 ἐπειδήπερ ἐν ἐκείνοις μὲν ἡγεῖται τὸ πιθανόν, κἂν ᾖ
since in those indeed leads the persuasive even-if it-be
ψεῦδος, διὰ τὴν ἀπάτην τῶν θεωμένων, ἐν δὲ τούτοις
falsehood because-of the deception of-the spectators in and these
τἀληθὲς διὰ τὴν ὠφέλειαν τῶν φιλομαθούντων.
the-truth because-of the benefit of-the lovers-of-learning
56.13 χωρίς τε τούτων τὰς πλείστας ἡμῖν ἐξηγεῖται τῶν
apart and from-these the most to-us he-narrates of-the
περιπετειῶν, οὐχ ὑποτιθεὶς αἰτίαν καὶ τρόπον τοῖς
reversals not supplying cause and manner to-the
γινομένοις, ὧν χωρὶς οὔτ᾽ ἐλεεῖν εὐλόγως οὔτ᾽ ὀργίζεσθαι
happenings which without neither to-pity reasonably nor to-be-angry
καθηκόντως δυνατὸν ἐπ᾽ οὐδενὶ τῶν συμβαινόντων.
fittingly possible at any of-the occurrences

ἐπεὶ τίς ἀνθρώπων οὐ δεινὸν ἡγεῖται τύπτεσθαι τοὺς 56.14
since who of-men not terrible considers to-be-beaten the
ἐλευθέρους; ἀλλ᾽ ὅμως, ἐὰν μὲν ἄρχων ἀδίκων χειρῶν
free but nevertheless if indeed beginning unjust hands
πάθῃ τις τοῦτο, δικαίως κρίνεται πεπονθέναι· ἐὰν δ᾽ ἐπὶ
suffers anyone this justly he-is-judged to-have-suffered if and for
διορθώσει καὶ μαθήσει ταὐτὸ τοῦτο γίνηται, προσέτι καὶ
correction and instruction the-same this happens besides both
τιμῆς καὶ χάριτος οἱ τύπτοντες τοὺς ἐλευθέρους ἀξιοῦνται.
of-honor and of-thanks those beating the free are-thought-worthy
καὶ μὴν τό γε τοὺς πολίτας ἀποκτεινύναι μέγιστον 56.15
and indeed the at-least the citizens to-kill greatest
ἀσέβημα τίθεται καὶ μεγίστων ἄξιον προστίμων· καίτοι
impiety is-reckoned and of-greatest worthy penalties and-yet
γε προφανῶς ὁ μὲν τὸν κλέπτην ἢ μοιχὸν
at-least plainly the-one indeed the thief or adulterer
ἀποκτείνας ἀθῷός ἐστιν, ὁ δὲ τὸν προδότην ἢ
having-killed guiltless is the-one and the traitor or
τύραννον τιμῶν καὶ προεδρείας τυγχάνει παρὰ πᾶσιν.
tyrant of-honors and of-front-seats obtains among all
οὕτως ἐν παντὶ τὸ τέλος κεῖται τῆς διαλήψεως ὑπὲρ 56.16
so in every-case the end lies of-the judgment about
τούτων οὐκ ἐν τοῖς τελουμένοις, ἀλλ᾽ ἐν ταῖς αἰτίαις καὶ
these not in the things-done but in the causes and
προαιρέσεσι τῶν πραττόντων καὶ ταῖς τούτων διαφοραῖς.
principles of-those acting and the of-these differences
Μαντινεῖς τοίνυν τὸ μὲν πρῶτον ἐγκαταλιπόντες τὴν μετὰ 57.1
Mantineans therefore the indeed first having-abandoned the with
τῶν Ἀχαιῶν πολιτείαν ἐθελοντὴν Αἰτωλοῖς ἐνεχείρισαν
the Achaeans federation voluntarily to-Aetolians entrusted
αὑτοὺς καὶ τὴν πατρίδα, μετὰ δὲ ταῦτα Κλεομένει.
themselves and the fatherland after and these-things to-Cleomenes

57.2 γεγονότες δ' ἐπὶ τοιαύτης προαιρέσεως καὶ μετέχοντες
having-come and to such a-policy and sharing
τῆς Λακεδαιμονίων πολιτείας ἔτει τετάρτῳ πρότερον
the of-Lacedaemonians constitution in-the-year fourth before
τῆς Ἀντιγόνου παρουσίας ἑάλωσαν κατὰ κράτος ὑπὸ
of-the of-Antigonus coming they-were-captured by force by
τῶν Ἀχαιῶν, Ἀράτου πραξικοπήσαντος αὐτῶν τὴν πόλιν.
the Achaeans Aratus having-surprised their the city
57.3 ἐν ᾧ καιρῷ τοσοῦτον ἀπέσχον τοῦ παθεῖν τι δεινὸν
at which time so-far they-were-from the to-suffer anything terrible
διὰ τὴν προειρημένην ἁμαρτίαν ὡς καὶ περιβόητον
because-of the aforementioned error that also celebrated
συνέβη γενέσθαι τὸ πραχθὲν διὰ τὴν ὀξύτητα τῆς
it-happened to-become the deed because-of the suddenness of-the
κατὰ τὴν προαίρεσιν ἀμφοτέρων μεταβολῆς.
in the disposition of-both change
57.4 ἅμα γὰρ τῷ κατασχεῖν τὴν πόλιν Ἄρατος παραυτίκα
at-once for with-the to-occupy the city Aratus at-once
μὲν τοῖς ὑφ' αὑτὸν ταττομένοις παρήγγελλε μηδένα
indeed to-those under him ranked ordered no-one
μηδενὸς ἅπτεσθαι τῶν ἀλλοτρίων,
anything to-touch of-the others'-property
57.5 ἑξῆς δὲ τούτοις τοὺς Μαντινέας συναθροίσας παρεκάλεσε
next and to-these the Mantineans having-gathered he-exhorted
θαρρεῖν καὶ μένειν ἐπὶ τῶν ἰδίων· ὑπάρξειν γὰρ
to-take-courage and to-remain in their own to-be-going-to-be for
αὐτοῖς τὴν ἀσφάλειαν πολιτευομένοις μετὰ τῶν Ἀχαιῶν.
to-them the safety being-citizens with the Achaeans

τοῖς δὲ Μαντινεῦσιν ἀνυπονοήτου καὶ παραδόξου φανείσης 57.6
to-the and Mantineans unsuspected and unexpected having-appeared
τῆς ἐλπίδος, παραυτίκα πάντες ἐπὶ τῆς ἐναντίας ἐγένοντο
the hope at-once all to the contrary came
γνώμης.
opinion
καὶ πρὸς οὓς μικρῷ πρότερον μαχόμενοι πολλοὺς μὲν 57.7
and against whom by-a-little before fighting many indeed
τῶν ἀναγκαίων ἐπεῖδον ἀπολλυμένους, οὐκ ὀλίγους δ᾽
of-the kin they-had-seen perishing not few and
αὐτῶν βιαίοις τραύμασι περιπεσόντας, τούτους εἰς τὰς
of-them violent wounds having-fallen-into these into the
ἰδίας οἰκίας εἰσαγόμενοι καὶ ποιησάμενοι σφίσι καὶ
own houses bringing-in and having-made with-themselves and
τοῖς ἄλλοις ἀναγκαίοις ὁμεστίους, οὐδὲν ἀπέλειπον τῆς
the other kin sharers-of-the-hearth nothing they-omitted of-the
μετ᾽ ἀλλήλων φιλοφροσύνης.
with one-another friendliness
καὶ τοῦτ᾽ εἰκότως ἐποίουν· οὐ γὰρ οἶδ᾽ εἴ τινες 57.8
and this fittingly they-did not for I-know whether any
ἀνθρώπων εὐγνωμονεστέροις ἐνέτυχον πολεμίοις οὐδ᾽ εἴ
of-men more-considerate met enemies nor whether
τινες ἀβλαβέστερον ἐπάλαισαν τοῖς μεγίστοις δοκοῦσιν
any more-harmlessly wrestled with-the greatest seeming
εἶναι συμπτώμασι Μαντινέων διὰ τὴν Ἀράτου καὶ τῶν
to-be calamities than-Mantineans because-of the of-Aratus and of-the
Ἀχαιῶν εἰς αὐτοὺς φιλανθρωπίαν.
Achaeans toward them kindness
μετὰ δὲ ταῦτα προορώμενοι τὰς ἐν αὑτοῖς στάσεις 58.1
after and these-things foreseeing the among themselves factions
καὶ τὰς ὑπ᾽ Αἰτωλῶν καὶ Λακεδαιμονίων ἐπιβουλάς,
and the by Aetolians and Lacedaemonians plots

πρεσβεύσαντες πρὸς τοὺς Ἀχαιοὺς ἠξίωσαν δοῦναι
having-sent-envoys to the Achaeans they-asked to-give
παραφυλακὴν αὐτοῖς.
a-garrison to-themselves

58.2 οἱ δὲ πεισθέντες ἀπεκλήρωσαν ἐξ αὐτῶν τριακοσίους
they and having-been-persuaded chose-by-lot from themselves three-hundred
ἄνδρας· ὧν οἱ λαχόντες ὥρμησαν, ἀπολιπόντες τὰς
men of-whom those having-drawn-the-lot set-out having-left the
ἰδίας πατρίδας καὶ τοὺς βίους, καὶ διέτριβον ἐν Μαντινείᾳ,
own fatherlands and the livelihoods and stayed in Mantinea
παραφυλάττοντες τὴν ἐκείνων ἐλευθερίαν ἅμα καὶ σωτηρίαν.
guarding the their freedom at-once and safety

58.3 σὺν δὲ τούτοις καὶ μισθοφόρους διακοσίους ἐξέπεμψαν, οἳ
with and these also mercenaries two-hundred they-sent who
μετὰ τῶν Ἀχαιῶν συνδιετήρουν τὴν ὑποκειμένην αὐτοῖς
with the Achaeans helped-to-maintain the existing for-them
κατάστασιν.
settlement

58.4 μετ᾽ οὐ πολὺ δὲ στασιάσαντες πρὸς σφᾶς οἱ Μαντινεῖς
after not long and having-quarreled with themselves the Mantineans
καὶ Λακεδαιμονίους ἐπισπασάμενοι τήν τε πόλιν ἐνεχείρισαν
and Lacedaemonians having-called-in the both city handed-over
καὶ τοὺς παρὰ τῶν Ἀχαιῶν διατρίβοντας παρ᾽ αὐτοῖς
and those from the Achaeans staying among them
κατέσφαξαν· οὗ μεῖζον παρασπόνδημα καὶ δεινότερον
they-slaughtered than-which greater treachery and more-terrible
οὐδ᾽ εἰπεῖν εὐμαρές.
not-even to-tell easy

ἐπειδὴ γὰρ ἔδοξε σφίσι καθόλου τὴν πρὸς τὸ ἔθνος χάριν 58.5
since for it-seemed-good to-them entirely the toward the nation gratitude
καὶ φιλίαν ἀθετεῖν, τῶν γε προειρημένων ἀνδρῶν ἐχρῆν
and friendship to-set-aside the at-least aforementioned men it-was-needful
δήπου φεισαμένους ἐâσαι πάντας ὑποσπόνδους ἀπελθεῖν·
surely having-spared to-allow all under-truce to-depart
τοῦτο γὰρ καὶ τοῖς πολεμίοις ἔθος ἐστὶ συγχωρεῖσθαι 58.6
this for even to-the enemies custom is to-be-granted
κατὰ τοὺς κοινοὺς τῶν ἀνθρώπων νόμους.
according-to the common of-the men laws
οἱ δ' ἵνα Κλεομένει καὶ Λακεδαιμονίοις ἱκανὴν 58.7
they and so-that to-Cleomenes and Lacedaemonians sufficient
παράσχωνται πίστιν πρὸς τὴν ἐνεστῶσαν ἐπιβολήν, τὰ
they-might-provide pledge for the present design the
κοινὰ τῶν ἀνθρώπων δίκαια παραβάντες τὸ μέγιστον
common of-the men rights having-transgressed the greatest
ἀσέβημα κατὰ προαίρεσιν ἐπετέλεσαν.
impiety by choice accomplished
τὸ γὰρ τούτων αὐτόχειρας γενέσθαι καὶ τιμωροὺς οἵτινες 58.8
the for of-these murderers to-become and punishers who
πρότερον μὲν κατὰ κράτος λαβόντες αὐτοὺς ἀθῴους
before indeed by force having-taken them guiltless
ἀφῆκαν, τότε δὲ τὴν ἐκείνων ἐλευθερίαν καὶ σωτηρίαν
released then and the their freedom and safety
ἐφύλαττον, πηλίκης ὀργῆς ἐστιν ἄξιον;
were-guarding of-how-great anger is worthy
τί δ' ἂν παθόντες οὗτοι δίκην δόξαιεν ἁρμόζουσαν 58.9
what and — having-suffered these penalty would-they-seem fitting
δεδωκέναι; τυχὸν ἴσως εἴποι τις ἄν, πραθέντες μετὰ
to-have-paid possibly perhaps might-say one — having-been-sold with
τέκνων καὶ γυναικῶν, ἐπεὶ κατεπολεμήθησαν.
children and wives when they-were-conquered-in-war

58.10 ἀλλὰ τοῦτό γε καὶ τοῖς μηθὲν ἀσεβὲς ἐπιτελεσαμένοις
but this at-least also for-those nothing impious having-done
κατὰ τοὺς τοῦ πολέμου νόμους ὑπόκειται παθεῖν.
according-to the of-the war laws is-liable to-suffer
οὐκοῦν ὁλοσχερεστέρας τινὸς καὶ μείζονος τυχεῖν ἦσαν
therefore more-complete some and greater to-obtain they-were
ἄξιοι τιμωρίας,
worthy punishment

58.11 ὥστ' εἴπερ ἔπαθον ἃ Φύλαρχός φησιν, οὐκ ἔλεον
so-that if-indeed they-suffered what Phylarchus says not pity
εἰκὸς ἦν συνεξακολουθεῖν αὐτοῖς παρὰ τῶν Ἑλλήνων,
likely was to-follow them from the Greeks
ἔπαινον δὲ καὶ συγκατάθεσιν μᾶλλον τοῖς πράττουσι καὶ
praise but and approval rather for-those doing and
μεταπορευομένοις τὴν ἀσέβειαν αὐτῶν.
pursuing the impiety their

58.12 ἀλλ' ὅμως οὐδενὸς περαιτέρω συνεξακολουθήσαντος
but nevertheless nothing further having-befallen
Μαντινεῦσι κατὰ τὴν περιπέτειαν πλὴν τοῦ διαρπαγῆναι τοὺς
to-Mantineans in the reversal except the to-be-plundered the
βίους καὶ πραθῆναι τοὺς ἐλευθέρους, ὁ συγγραφεὺς αὐτῆς
livelihoods and to-be-sold the free the writer of-the-very
τῆς τερατείας χάριν οὐ μόνον ψεῦδος εἰσήνεγκε τὸ ὅλον,
— marvel for-the-sake not only falsehood introduced the whole

58.13 ἀλλὰ καὶ τὸ ψεῦδος ἀπίθανον, καὶ διὰ τὴν ὑπερβολὴν
but also the falsehood implausible and because-of the excess
τῆς ἀγνοίας οὐδὲ τὸ παρακείμενον ἠδυνήθη συνεπιστῆσαι,
of-the ignorance not-even the adjacent was-he-able to-notice
πῶς οἱ αὐτοὶ κατὰ τοὺς αὐτοὺς καιροὺς κυριεύσαντες
how the same at the same times having-become-masters
Τεγεατῶν κατὰ κράτος οὐδὲν τῶν ὁμοίων ἔπραξαν.
of-Tegeans by force nothing of-the similar did

καίτοι γ᾽ εἰ μὲν ἡ τῶν πραττόντων ὠμότης ἦν αἰτία, 58.14
and-yet at-least if indeed the of-those acting cruelty was cause
καὶ τούτους εἰκὸς ἦν πεπονθέναι ταὐτὰ τοῖς ὑπὸ τὸν
also these likely was to-have-suffered the-same-things as-those under the
αὐτὸν ὑποπεπτωκόσι καιρόν.
same having-fallen time
εἰ δὲ περὶ μόνους γέγονε Μαντινεῖς ἡ διαφορά, φανερὸν 58.15
if but about alone has-arisen Mantineans the difference manifest
ὅτι καὶ τὴν αἰτίαν τῆς ὀργῆς ἀνάγκη διαφέρουσαν
that also the cause of-the anger necessarily different
γεγονέναι περὶ τούτους.
to-have-arisen about these

II.59–66 · ARISTOMACHUS, MEGALOPOLIS, AND SELLASIA

Polybius goes on against Phylarchus. Aristomachus of Argos, a tyrant who betrayed the Achaeans, deserved worse than the drowning he got. Phylarchus ignores the Megalopolitans' nobility in refusing Cleomenes' offer to return their city, and his six thousand talents of booty are impossible and belie his own story that Cleomenes fought for want of pay. Cleomenes raids Argive territory; Antigonus, reviled by the Argives, wisely holds back. In summer Antigonus marches on Laconia with about thirty thousand men; Cleomenes waits at Sellasia with twenty thousand, holding the hills Evas and Olympus. After days of probing, the kings agree to fight: Antigonus sets the Illyrians and bronze-shields against Evas, the cavalry by the Oenus, and himself with the phalanx against Olympus.

πάλιν Ἀριστόμαχον τὸν Ἀργεῖόν φησιν, ἄνδρα τῆς 59.1
again Aristomachus the Argive he-says a-man of-the
ἐπιφανεστάτης οἰκίας ὑπάρχοντα καὶ τετυραννηκότα μὲν
most-distinguished house being and having-been-tyrant indeed
Ἀργείων, πεφυκότα δ᾽ ἐκ τυράννων, ὑποχείριον Ἀντιγόνῳ
of-Argives born and from tyrants subject to-Antigonus

καὶ τοῖς Ἀχαιοῖς γενόμενον εἰς Κεγχρεὰς ἀπαχθῆναι
and to-the Achaeans having-become to Cenchreae to-have-been-led-away
καὶ στρεβλούμενον ἀποθανεῖν, ἀδικώτατα καὶ δεινότατα
and being-tortured to-have-died most-unjustly and most-terribly
παθόντα πάντων ἀνθρώπων.
having-suffered of-all men

59.2 τηρῶν δὲ καὶ περὶ ταύτην τὴν πρᾶξιν ὁ συγγραφεὺς
keeping and also about this the affair the writer
τὸ καθ' αὑτὸν ἰδίωμα φωνάς τινας πλάττει διὰ
the proper-to himself peculiarity cries some he-invents through
τῆς νυκτὸς αὐτοῦ στρεβλουμένου προσπιπτούσας τοῖς
the night him being-tortured falling-on those
σύνεγγυς κατοικοῦσιν, ὧν τοὺς μὲν ἐκπληττομένους τὴν
near dwelling of-whom the-ones indeed being-struck-at the
ἀσέβειαν, τοὺς δ' ἀπιστοῦντας, τοὺς δ' ἀγανακτοῦντας
impiety the-others and disbelieving the-others and being-indignant
ἐπὶ τοῖς γινομένοις προστρέχειν πρὸς τὴν οἰκίαν φησίν.
at the happening-things to-run to the house he-says

59.3 περὶ μὲν οὖν τῆς τοιαύτης τερατείας παρείσθω·
about indeed therefore the such marvel-mongering let-it-be-passed-over
δεδήλωται γὰρ ἀρκούντως.
it-has-been-shown for sufficiently

59.4 ἐγὼ δ' Ἀριστόμαχον, εἰ καὶ μηδὲν εἰς τοὺς Ἀχαιοὺς ἕτερον
I but Aristomachus if even nothing against the Achaeans else
ἥμαρτεν, κατά γε τὴν τοῦ βίου προαίρεσιν καὶ τὴν εἰς
he-wronged according-to at-least the of-the life principle and the toward
πατρίδα παρανομίαν τῆς μεγίστης ἄξιον κρίνω τιμωρίας.
fatherland lawlessness of-the greatest worthy I-judge punishment

59.5 καίπερ ὁ συγγραφεὺς βουλόμενος αὔξειν αὐτοῦ τὴν
although the writer wishing to-increase his the
δόξαν καὶ παραστήσασθαι τοὺς ἀκούοντας εἰς τὸ μᾶλλον
repute and to-dispose the hearers to the more

αὐτῷ συναγανακτεῖν ἐφ᾽ οἷς ἔπαθεν οὐ μόνον αὐτόν φησι
with-him to-share-indignation at what he-suffered not only him says
γεγονέναι τύραννον, ἀλλὰ καὶ ἐκ τυράννων πεφυκέναι.
to-have-been tyrant but also from tyrants to-have-been-born
ταύτης δὲ μείζω κατηγορίαν ἢ πικροτέραν οὐδ᾽ ἂν 59.6
than-this and greater accusation or more-bitter not-even —
εἰπεῖν ῥᾳδίως δύναιτ᾽ οὐδείς. αὐτὸ γὰρ τοὔνομα περιέχει
to-say easily could anyone itself for the-name contains
τὴν ἀσεβεστάτην ἔμφασιν καὶ πάσας περιείληφε τὰς ἐν
the most-impious meaning and all has-embraced the in
ἀνθρώποις ἀδικίας καὶ παρανομίας.
men injustices and lawlessnesses
Ἀριστόμαχος δ᾽ εἰ τὰς δεινοτάτας ὑπέμεινε τιμωρίας, 59.7
Aristomachus and if the most-terrible he-endured punishments
ὡς οὗτός φησιν, ὅμως οὐχ ἱκανὴν ἔδωκεν δίκην μιᾶς
as this-one says nevertheless not sufficient he-paid penalty of-one
ἡμέρας,
day
ἐν ᾗ παρεισπεσόντος εἰς τὴν πόλιν Ἀράτου μετὰ τῶν 59.8
in which having-burst-in into the city Aratus with the
Ἀχαιῶν καὶ μεγάλους ἀγῶνας καὶ κινδύνους ὑπομείναντος
Achaeans and great struggles and dangers having-endured
ὑπὲρ τῆς Ἀργείων ἐλευθερίας, τέλος δ᾽ ἐκπεσόντος
for the of-Argives freedom at-last and having-been-driven-out
διὰ τὸ μηδένα συγκινηθῆναι τῶν ἔσωθεν αὐτῷ
because-of the no-one to-have-joined-the-movement of-those within with-him
ταξαμένων διὰ τὸν ἀπὸ τοῦ τυράννου φόβον,
having-agreed because-of the from the tyrant fear
Ἀριστόμαχος ἀφορμῇ ταύτῃ καὶ προφάσει χρησάμενος, ὡς 59.9
Aristomachus occasion this and pretext having-used as
τινων συνειδότων τὰ περὶ τὴν εἴσοδον τῶν Ἀχαιῶν,
some being-privy-to the-things about the entry of-the Achaeans

ὀγδοήκοντα τοὺς πρώτους τῶν πολιτῶν οὐδὲν ἀδικήσαντας
eighty the first of-the citizens nothing having-wronged
στρεβλώσας ἐναντίον τῶν ἀναγκαίων κατέσφαξεν.
having-tortured before the relatives slaughtered

59.10 παρίημι τὰ παρ᾽ ὅλον τὸν βίον αὐτοῦ καὶ τῶν
I-pass-over the-things throughout whole the life his and of-the
προγόνων ἀσεβήματα·
ancestors impieties

60.1 μακρὸν γάρ. διόπερ οὐκ εἴ τινι τῶν ὁμοίων περιέπεσε
long for wherefore not if any of-the similar-things he-met
δεινὸν ἡγητέον, πολὺ δὲ δεινότερον, εἰ μηδενὸς τούτων
terrible one-must-consider much but more-terrible if none of-these
πεῖραν λαβὼν ἀθῷος ἀπέθανεν.
trial having-taken guiltless he-died

60.2 οὐδ᾽ Ἀντιγόνῳ προσαπτέον οὐδ᾽ Ἀράτῳ παρανομίαν,
nor to-Antigonus must-be-imputed nor to-Aratus lawlessness
ὅτι λαβόντες κατὰ πόλεμον ὑποχείριον τύραννον
because having-taken in war subject a-tyrant
στρεβλώσαντες ἀπέκτειναν, ὅν γε καὶ κατ᾽ αὐτὴν τὴν
having-tortured they-killed whom at-least even in the-very —
εἰρήνην τοῖς ἀνελοῦσι καὶ τιμωρησαμένοις ἔπαινος καὶ
peace to-those having-killed and having-punished praise and
τιμὴ συνεξηκολούθει παρὰ τοῖς ὀρθῶς λογιζομένοις.
honor followed among those rightly reasoning

60.3 ὅτε δὲ χωρὶς τῶν προειρημένων καὶ τοὺς Ἀχαιοὺς
when and apart-from the aforementioned also the Achaeans
παρεσπόνδησεν, τί παθεῖν ἦν ἄξιος;
he-betrayed what to-suffer was-he worthy

60.4 ἐκεῖνος γὰρ ἀπέθετο μὲν τὴν τυραννίδα χρόνοις οὐ
he for laid-down indeed the tyranny times not
πολλοῖς πρότερον, ὑπὸ τῶν καιρῶν συγκλειόμενος διὰ
many before by the circumstances being-hemmed-in because-of

τὸν Δημητρίου θάνατον, ἀνελπίστως δὲ τῆς ἀσφαλείας
the of-Demetrius death unhopedly and the safety
ἔτυχε περισταλεὶς ὑπὸ τῆς τῶν Ἀχαιῶν πραότητος καὶ
obtained protected by the of-the Achaeans mildness and
καλοκἀγαθίας·
nobility
οἵτινες οὐ μόνον αὐτὸν τῶν ἐκ τῆς τυραννίδος ἀσεβημάτων 60.5
who not only him of-the from the tyranny impieties
ἀζήμιον ἐποίησαν, ἀλλὰ καὶ προσλαβόντες εἰς τὴν
unpunished made but also having-taken into the
πολιτείαν τὴν μεγίστην τιμὴν περιέθεσαν, ἡγεμόνα καὶ
citizenship the greatest honor conferred-on leader and
στρατηγὸν καταστήσαντες σφῶν αὐτῶν.
general having-appointed of-them selves
ὁ δ' ἐπιλαθόμενος τῶν προειρημένων φιλανθρώπων παρὰ 60.6
he and having-forgotten the aforementioned kindnesses on
πόδας, ἐπεὶ μικρὸν ἐπικυδεστέρας ἔσχε τὰς ἐλπίδας ὑπὲρ
the-spot when a-little more-glorious he-had the hopes for
τοῦ μέλλοντος ἐν Κλεομένει, τήν τε πατρίδα καὶ τὴν
the future in Cleomenes the both fatherland and the
ἑαυτοῦ προαίρεσιν ἀποσπάσας ἀπὸ τῶν Ἀχαιῶν ἐν τοῖς
his-own allegiance having-torn-away from the Achaeans in the
ἀναγκαιοτάτοις καιροῖς προσένειμε τοῖς ἐχθροῖς.
most-critical times attached to-the enemies
ὃν ὑποχείριον γενόμενον οὐκ ἐν Κεγχρεαῖς ἔδει 60.7
whom subject having-become not in Cenchreae it-was-needful
τὴν νύκτα στρεβλούμενον ἀποθανεῖν, ὡς Φύλαρχός φησιν,
the night being-tortured to-die as Phylarchus says
περιαγόμενον δ' εἰς τὴν Πελοπόννησον καὶ μετὰ τιμωρίας
being-led-around but into the Peloponnese and with punishment
παραδειγματιζόμενον οὕτως ἐκλιπεῖν τὸ ζῆν.
being-made-an-example so to-leave the to-live

60.8 ἀλλ᾽ ὅμως τοιοῦτος ὢν οὐδενὸς ἔτυχε δεινοῦ πλὴν τοῦ
but nevertheless such being no he-met terrible-thing except the
καταποντισθῆναι διὰ τῶν ἐπὶ ταῖς Κεγχρεαῖς τεταγμένων.
to-be-drowned by those at — Cenchreae stationed

61.1 χωρίς τε τούτων τὰς μὲν Μαντινέων ἡμῖν συμφορὰς
apart both from-these the indeed of-Mantineans to-us misfortunes
μετ᾽ αὐξήσεως καὶ διαθέσεως ἐξηγήσατο, δῆλον ὅτι
with amplification and vividness he-narrated (it-is)-clear that
καθήκειν ὑπολαμβάνων τοῖς συγγραφεῦσι τὰς παρανόμους
to-befit supposing for-the writers the lawless
τῶν πράξεων ἐπισημαίνεσθαι,
of-the deeds to-mark

61.2 τῆς δὲ Μεγαλοπολιτῶν γενναιότητος, ᾗ περὶ τοὺς
of-the but of-Megalopolitans nobility which in the
αὐτοὺς ἐχρήσαντο καιρούς, οὐδὲ κατὰ ποσὸν ἐποιήσατο
same they-showed times not-even to a-degree did-he-make
μνήμην,
mention

61.3 ὥσπερ τὸ τὰς ἁμαρτίας ἐξαριθμεῖσθαι τῶν πραξάντων
as-if the the errors to-enumerate of-those acting
οἰκειότερον ὑπάρχον τῆς ἱστορίας τοῦ τὰ καλὰ καὶ
more-proper being of-the history than-the the noble and
δίκαια τῶν ἔργων ἐπισημαίνεσθαι, ἢ τοὺς ἐντυγχάνοντας
just-things of-the deeds to-mark or those reading
τοῖς ὑπομνήμασιν ἧττόν τι διορθουμένους ὑπὸ τῶν
the memoirs less somewhat being-corrected by the
σπουδαίων καὶ ζηλωτῶν ἔργων ἢπερ ὑπὸ τῶν παρανόμων
earnest and enviable deeds than by the lawless
καὶ φευκτῶν πράξεων.
and to-be-shunned actions

ὁ δὲ πῶς μὲν ἔλαβε Κλεομένης τὴν πόλιν καὶ πῶς 61.4
he and how indeed took Cleomenes the city and how
ἀκέραιον διαφυλάξας ἐξαπέστειλε παραχρῆμα πρὸς τοὺς
intact having-preserved he-sent-out at-once to the
Μεγαλοπολίτας εἰς τὴν Μεσσήνην γραμματοφόρους,
Megalopolitans to — Messene letter-carriers
ἀξιῶν αὐτοὺς ἀβλαβῆ κομισαμένους τὴν ἑαυτῶν
asking them unharmed having-recovered the their-own
πατρίδα κοινωνῆσαι τῶν ἰδίων πραγμάτων, ταῦτα μὲν
fatherland to-share of-the own affairs these-things indeed
ἡμῖν ἐδήλωσε, βουλόμενος ὑποδεῖξαι τὴν Κλεομένους
to-us he-showed wishing to-point-out the of-Cleomenes
μεγαλοψυχίαν καὶ μετριότητα πρὸς τοὺς πολεμίους.
magnanimity and moderation toward the enemies
ἔτι δὲ πῶς οἱ Μεγαλοπολῖται τῆς ἐπιστολῆς 61.5
further and how the Megalopolitans the letter
ἀναγινωσκομένης οὐκ ἐάσαιεν εἰς τέλος ἀναγνωσθῆναι,
being-read not allowed to the-end to-be-read
μικροῦ δὲ καταλεύσαιεν τοὺς γραμματοφόρους, ἕως
almost and stoned the letter-carriers as-far-as
τούτου διεσάφησε.
this he-made-clear
τὸ δ' ἀκόλουθον καὶ τὸ τῆς ἱστορίας ἴδιον ἀφεῖλεν, 61.6
the but sequel and the of-the history proper he-took-away
τὸν ἔπαινον καὶ τὴν ἐπ' ἀγαθῷ μνήμην τῶν ἀξιολόγων
the praise and the for good mention of-the notable
προαιρέσεων.
choices
καίτοι γ' ἐμποδὼν ἦν. εἰ γὰρ τοὺς λόγῳ καὶ δόγματι 61.7
and-yet at-least ready-to-hand it-was if for those in-word and by-decree
μόνον ὑπομείναντας πόλεμον ὑπὲρ φίλων καὶ συμμάχων
only having-undertaken war for friends and allies

ἄνδρας ἀγαθοὺς νομίζομεν, τοῖς δὲ καὶ χώρας καταφθορὰν
men good we-consider to-those and also of-country destruction
καὶ πολιορκίαν ἀναδεξαμένοις οὐ μόνον ἔπαινον, ἀλλὰ καὶ
and siege having-undergone not only praise but also
χάριτας καὶ δωρεὰς τὰς μεγίστας ἀπονέμομεν,
thanks and gifts the greatest we-assign
61.8 τίνα γε χρὴ περὶ Μεγαλοπολιτῶν ἔχειν διάληψιν;
what at-least is-it-needful about Megalopolitans to-have judgment
ἆρ᾽ οὐχὶ τὴν σεμνοτάτην καὶ βελτίστην;
surely not the most-august and best
61.9 οἳ πρῶτον μὲν τὴν χώραν Κλεομένει προεῖντο, μετὰ δὲ
who first indeed the country to-Cleomenes gave-up after and
ταῦτα πάλιν ὁλοσχερῶς ἔπταισαν τῇ πατρίδι διὰ
these-things again utterly they-failed in-the fatherland because-of
τὴν πρὸς τοὺς Ἀχαιοὺς αἵρεσιν,
the toward the Achaeans allegiance
61.10 τὸ δὲ τελευταῖον, δοθείσης ἀνελπίστως καὶ παραδόξως
the and last having-been-given unhopedly and unexpectedly
αὐτοῖς ἐξουσίας ἀβλαβῆ ταύτην ἀπολαβεῖν, προείλαντο
to-them power unharmed it to-get-back they-preferred
στέρεσθαι χώρας, τάφων, ἱερῶν, πατρίδος, τῶν
to-be-deprived-of country tombs temples fatherland the
ὑπαρχόντων, ἁπάντων συλλήβδην τῶν ἐν ἀνθρώποις
possessions all in-short of-the in men
ἀναγκαιοτάτων χάριν τοῦ μὴ προδοῦναι τὴν πρὸς τοὺς
most-necessary-things for-the-sake of-the not to-betray the toward the
συμμάχους πίστιν.
allies faith
61.11 οὗ τί κάλλιον ἔργον ἢ γέγονεν ἢ γένοιτ᾽ ἄν; ἐπὶ τί
than-which what finer deed either has-happened or could-happen — to what
δ᾽ ἂν μᾶλλον συγγραφεὺς ἐπιστήσαι τοὺς ἀκούοντας;
and — more a-writer could-direct-the-attention-of the hearers

διὰ τίνος δ' ἔργου μᾶλλον ἂν παρορμήσαι πρὸς φυλακὴν
through what and deed more — could-he-urge toward keeping
πίστεως καὶ πρὸς ἀληθινῶν πραγμάτων καὶ βεβαίων
of-faith and toward true affairs and steadfast
κοινωνίαν; ὧν οὐδεμίαν ἐποιήσατο μνήμην Φύλαρχος,
partnership of-which no made mention Phylarchus
τυφλώττων, ὥς γ' ἐμοὶ δοκεῖ, περὶ τὰ κάλλιστα καὶ 61.12
being-blind as at-least to-me seems about the finest and
μάλιστα συγγραφεῖ καθήκοντα τῶν ἔργων.
most for-a-writer befitting of-the deeds
οὐ μὴν ἀλλὰ τούτοις ἑξῆς φησιν ἀπὸ τῶν ἐκ τῆς 62.1
not however but to-these next he-says from the from the
Μεγάλης πόλεως λαφύρων ἑξακισχίλια τάλαντα τοῖς
Great city spoils six-thousand talents to-the
Λακεδαιμονίοις πεσεῖν, ὧν τὰ δισχίλια Κλεομένει
Lacedaemonians to-have-fallen of-which the two-thousand to-Cleomenes
δοθῆναι κατὰ τοὺς ἐθισμούς.
to-have-been-given according-to the customs
ἐν δὲ τούτοις πρῶτον μὲν τίς οὐκ ἂν θαυμάσειεν τὴν 62.2
in and these first indeed who not — would-wonder-at the
ἀπειρίαν καὶ τὴν ἄγνοιαν τῆς κοινῆς ἐννοίας ὑπὲρ τῆς
inexperience and the ignorance of-the common notion about the
τῶν Ἑλληνικῶν πραγμάτων χορηγίας καὶ δυνάμεως; ἣν
of-the Greek affairs resources and power which
μάλιστα δεῖ παρὰ τοῖς ἱστοριογράφοις ὑπάρχειν.
most it-is-needful with the historians to-exist
ἐγὼ γὰρ οὐ λέγω κατ' ἐκείνους τοὺς χρόνους, ἐν οἷς 62.3
I for not speak of those the times in which
ὑπό τε τῶν ἐν Μακεδονίᾳ βασιλέων, ἔτι δὲ μᾶλλον
by both the in Macedonia kings still and more

ὑπὸ τῆς συνεχείας τῶν πρὸς ἀλλήλους πολέμων ἄρδην
by the continuity of-the against one-another wars utterly
κατέφθαρτο τὰ Πελοποννησίων,
had-been-ruined the(-affairs) of-Peloponnesians

62.4 ἀλλ' ἐν τοῖς καθ' ἡμᾶς καιροῖς, ἐν οἷς πάντες ἓν καὶ
but in the in our times in which all one and
ταὐτὸ λέγοντες μεγίστην καρποῦσθαι δοκοῦσιν εὐδαιμονίαν,
the-same saying greatest to-enjoy seem prosperity
ὅμως ἐκ Πελοποννήσου πάσης ἐξ αὐτῶν τῶν ἐπίπλων
nevertheless from Peloponnese whole from the-very — movables
χωρὶς σωμάτων οὐχ οἷόν τε συναχθῆναι τοσοῦτο πλῆθος
apart-from persons not possible — to-be-collected so-great amount
χρημάτων.
of-money

62.5 καὶ διότι τοῦτο νῦν οὐκ εἰκῇ, λόγῳ δέ τινι μᾶλλον
and that this now not at-random by-reasoning but some rather
ἀποφαινόμεθα, δῆλον ἐκ τούτων.
we-declare clear from these

62.6 τίς γὰρ ὑπὲρ Ἀθηναίων οὐχ ἱστόρηκε διότι καθ' οὓς
who for about Athenians not has-recorded that at which
καιροὺς μετὰ Θηβαίων εἰς τὸν πρὸς Λακεδαιμονίους
times with Thebans into the against Lacedaemonians
ἐνέβαινον πόλεμον καὶ μυρίους μὲν ἐξέπεμπον στρατιώτας,
they-entered war and ten-thousand indeed sent-out soldiers
ἑκατὸν δ' ἐπλήρουν τριήρεις,
a-hundred and manned triremes

62.7 ὅτι τότε κρίναντες ἀπὸ τῆς ἀξίας ποιεῖσθαι τὰς εἰς τὸν
that then having-decided from the value to-make the for the
πόλεμον εἰσφορὰς ἐτιμήσαντο τήν τε χώραν τὴν Ἀττικὴν
war levies they-assessed the both land the Attic
ἅπασαν καὶ τὰς οἰκίας, ὁμοίως δὲ καὶ τὴν λοιπὴν οὐσίαν·
all and the houses likewise and also the remaining property

ἀλλ᾽ ὅμως τὸ σύμπαν τίμημα τῆς ἀξίας ἐνέλιπε τῶν
but nevertheless the whole assessment of-the value fell-short of-the
ἑξακισχιλίων διακοσίοις καὶ πεντήκοντα ταλάντοις.
six-thousand by-two-hundred and fifty talents
ἐξ ὧν οὐκ ἀπεοικὸς ἂν φανείη τὸ περὶ Πελοποννησίων 62.8
from which not unlikely — would-appear the about Peloponnesians
ἄρτι ῥηθὲν ὑπ᾽ ἐμοῦ.
just-now said by me
κατὰ δ᾽ ἐκείνους τοὺς καιροὺς ἐξ αὐτῆς τῆς Μεγάλης 62.9
in and those the times from the-very — Great
πόλεως ὑπερβολικῶς ἀποφαινόμενος οὐκ ἄν τις εἰπεῖν
city exaggeratingly declaring not — anyone to-say
τολμήσειεν πλείω γενέσθαι τριακοσίων,
would-dare more to-have-been than-three-hundred
ἐπειδήπερ ὁμολογούμενόν ἐστι διότι καὶ τῶν ἐλευθέρων καὶ 62.10
since admitted it-is that both of-the free and
τῶν δουλικῶν σωμάτων τὰ πλεῖστα συνέβη διαφυγεῖν εἰς
of-the slave persons the most it-happened to-escape to
τὴν Μεσσήνην. μέγιστον δὲ τῶν προειρημένων τεκμήριον·
— Messene greatest and of-the aforementioned proof
οὐδενὸς γὰρ ὄντες δεύτεροι τῶν Ἀρκάδων Μαντινεῖς οὔτε 62.11
than-none for being second of-the Arcadians Mantineans neither
κατὰ τὴν δύναμιν οὔτε κατὰ τὴν περιουσίαν, ὡς αὐτὸς οὗτός
in the power nor in the wealth as himself this-one
φησιν, ἐκ πολιορκίας δὲ καὶ παραδόσεως ἁλόντες, ὥστε
says from siege and and surrender captured so-that
μήτε διαφυγεῖν μηδένα μήτε διακλαπῆναι ῥᾳδίως μηδέν,
neither to-escape anyone nor to-be-stolen-away easily anything
ὅμως τὸ πᾶν λάφυρον ἐποίησαν μετὰ τῶν σωμάτων 62.12
nevertheless the whole booty they-made with the persons
κατὰ τοὺς αὐτοὺς καιροὺς τάλαντα τριακόσια.
at the same times talents three-hundred

63.1 τὸ δὲ συνεχὲς τούτῳ τίς οὐκ ἂν ἔτι μᾶλλον θαυμάσειε;
the and continuation to-this who not — still more would-wonder-at
ταῦτα γὰρ ἀποφαινόμενος λέγει πρὸ τῆς παρατάξεως
these-things for declaring he-says before the battle
δέχ᾽ ἡμέραις μάλιστα τὸν παρὰ Πτολεμαίου πρεσβευτὴν
by-ten days about the from Ptolemy envoy
ἐλθεῖν ἀγγέλλοντα πρὸς τὸν Κλεομένη διότι Πτολεμαῖος
to-have-come announcing to — Cleomenes that Ptolemy
τὸ μὲν χορηγεῖν ἀπολέγει, διαλύεσθαι δὲ παρακαλεῖ
the indeed to-supply refuses to-come-to-terms and urges
πρὸς τὸν Ἀντίγονον.
with — Antigonus

63.2 τὸν δ᾽ ἀκούσαντά φησι κρῖναι διότι δεῖ τὴν
him and having-heard he-says to-have-decided that it-is-needful the
ταχίστην ἐκκυβεύειν τοῖς ὅλοις πρὸ τοῦ συνεῖναι τὰ
quickest to-stake-everything on-the whole before the to-learn the
προσπεπτωκότα τὰς δυνάμεις, διὰ τὸ μηδεμίαν ὑπάρχειν
news the forces because-of the no to-exist
ἐν τοῖς ἰδίοις πράγμασιν ἐλπίδα τοῦ δύνασθαι μισθοδοτεῖν.
in the own affairs hope of-the to-be-able to-pay-wages

63.3 ἀλλ᾽ εἴπερ ἑξακισχιλίων ἐγκρατὴς ἐγεγόνει ταλάντων
but if-indeed of-six-thousand master he-had-become talents
κατὰ τοὺς αὐτοὺς καιρούς, τὸν Πτολεμαῖον αὐτὸν ἠδύνατο
at the same times — Ptolemy himself he-could
ταῖς χορηγίαις ὑπερθέσθαι.
in-the supplies to-outdo

63.4 πρὸς δὲ τὸν Ἀντίγονον, εἰ μόνον τριακοσίων ὑπῆρχε
against and — Antigonus if only of-three-hundred he-was
κύριος, καὶ λίαν ἱκανὸς ἦν ἀσφαλῶς ὑπομένων τρίβειν
master even very sufficient he-was safely holding-out to-drag-out
τὸν πόλεμον.
the war

τὸ δ᾽ ἅμα μὲν πάσας ἀποφαίνειν τῷ Κλεομένει τὰς 63.5
the and at-once indeed all to-declare — for-Cleomenes the
ἐλπίδας ἐν Πτολεμαίῳ διὰ τὰς χορηγίας, ἅμα δὲ
hopes in Ptolemy because-of the supplies at-once and
τοσούτων χρημάτων αὐτὸν φάναι κύριον γεγονέναι κατὰ
of-so-much money him to-say master to-have-become at
τοὺς αὐτοὺς καιρούς, πῶς οὐ τῆς μείστης ἀλογίας, ἔτι
the same times how not of-the greatest unreason still
δ᾽ ἀσκεψίας ἐστὶ σημεῖον;
and thoughtlessness is a-sign
πολλὰ δὲ καὶ ἕτερα τῷ συγγραφεῖ τοιαῦτα καὶ κατὰ τοὺς 63.6
many and also other to-the writer such-things both at the
ὑποκειμένους καιροὺς καὶ παρ᾽ ὅλην τὴν πραγματείαν
present times and throughout whole the work
κατατέτακται, περὶ ὧν ἀρκεῖν ὑπολαμβάνω κατὰ τὴν
have-been-set-down about which to-suffice I-suppose according-to the
ἐξ ἀρχῆς πρόθεσιν καὶ τὰ νῦν εἰρημένα.
from beginning plan also the-things now said
μετὰ δὲ τὴν τῆς Μεγάλης πόλεως ἅλωσιν Ἀντιγόνου 64.1
after and the of-the Great city capture Antigonus
παραχειμάζοντος ἐν τῇ τῶν Ἀργείων πόλει, συναγαγὼν
wintering in the of-the Argives city having-collected-(his-army)
Κλεομένης ἅμα τῷ τὴν ἐαρινὴν ὥραν ἐνίστασθαι καὶ
Cleomenes at-once with-the the spring season to-begin and
παρακαλέσας τὰ πρέποντα τοῖς καιροῖς, ἐξαγαγὼν
having-exhorted the-things fitting to-the times having-led-out
τὴν στρατιὰν ἐνέβαλεν εἰς τὴν τῶν Ἀργείων χώραν,
the army be-invaded into the of-the Argives country

64.2 ὡς μὲν τοῖς πολλοῖς ἐδόκει, παραβόλως καὶ τολμηρῶς
as indeed to-the many it-seemed recklessly and boldly
διὰ τὴν ὀχυρότητα τῶν κατὰ τὰς εἰσόδους τόπων,
because-of the strength of-the at the entrances places
ὡς δὲ τοῖς ὀρθῶς λογιζομένοις, ἀσφαλῶς καὶ νουνεχῶς.
as but to-those rightly reasoning safely and sensibly
64.3 ὁρῶν γὰρ τὸν Ἀντίγονον διαφεικότα τὰς δυνάμεις, ᾔδει
seeing for — Antigonus having-dismissed the forces he-knew
σαφῶς ὡς πρῶτον μὲν τὴν εἰσβολὴν ἀκινδύνως ποιήσεται,
clearly that first indeed the invasion without-danger he-will-make
δεύτερον ἔτι τῆς χώρας καταφθειρομένης ἕως τῶν
second still the country being-ravaged as-far-as the
τειχῶν ἀνάγκη τοὺς Ἀργείους θεωροῦντας τὸ γινόμενον
walls necessity the Argives seeing the happening
ἀσχάλλειν καὶ καταμέμφεσθαι τὸν Ἀντίγονον.
to-be-vexed and to-blame — Antigonus
64.4 εἰ μὲν οὖν συμβαίη μὴ δυνάμενον αὐτὸν ὑποφέρειν
if indeed therefore it-should-happen not being-able him to-bear
τὸν ἐπιρραπισμὸν τῶν ὄχλων ἐξελθεῖν καὶ διακινδυνεῦσαι
the reproach of-the crowds to-go-out and to-risk-all
τοῖς παροῦσιν, πρόδηλον ἐκ τῶν κατὰ λόγον ἦν
with-the present-forces evident from the according-to reason was
αὐτῷ διότι νικήσει ῥᾳδίως.
to-him that he-will-conquer easily
64.5 εἰ δ' ἐμμείνας τοῖς λογισμοῖς ἀφησυχάζοι, καταπληξάμενος
if but having-abided by-the reasonings he-should-keep-quiet having-terrified
τοὺς ὑπεναντίους καὶ ταῖς ἰδίαις δυνάμεσι θάρσος
the enemy and in-the own forces confidence
ἐνεργασάμενος ἀσφαλῶς ὑπέλαβε ποιήσασθαι τὴν
having-produced safely he-supposed to-make the
ἀναχώρησιν εἰς τὴν οἰκείαν. ὃ καὶ συνέβη γενέσθαι.
withdrawal into the home-country which also happened to-take-place

τῆς γὰρ χώρας δηουμένης οἱ μὲν ὄχλοι συστρεφόμενοι 64.6
the for country being-ravaged the indeed crowds gathering
τὸν Ἀντίγονον ἐλοιδόρουν. ὁ δὲ καὶ λίαν ἡγεμονικῶς καὶ
— Antigonus reviled he and also very commanderlike and
βασιλικῶς οὐδὲν περὶ πλείονος ποιούμενος τοῦ κατὰ
kingly nothing of more making than-the in-accordance-with
λόγον χρήσασθαι τοῖς πράγμασιν ἦγε τὴν ἡσυχίαν.
reason to-deal-with the affairs kept the quiet
ὁ δὲ Κλεομένης κατὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν 64.7
— and Cleomenes according-to the from beginning plan
καταφθείρας μὲν τὴν χώραν, καταπληξάμενος δὲ τοὺς
having-ravaged indeed the country having-terrified and the
ὑπεναντίους, εὐθαρσεῖς δὲ πεποιηκὼς τὰς ἑαυτοῦ δυνάμεις
enemy confident and having-made the his-own forces
πρὸς τὸν ἐπιφερόμενον κίνδυνον ἀσφαλῶς εἰς τὴν οἰκείαν
for the coming danger safely into the home-country
ἐπανῆλθεν.
returned
τοῦ δὲ θέρους ἐνισταμένου, καὶ συνελθόντων τῶν Μακεδόνων 65.1
the and summer beginning and having-assembled the Macedonians
καὶ τῶν Ἀχαιῶν ἐκ τῆς χειμασίας, ἀναλαβὼν τὴν στρατιὰν
and the Achaeans from the winter-quarters having-taken-up the army
Ἀντίγονος προῆγε μετὰ τῶν συμμάχων εἰς τὴν Λακωνικήν,
Antigonus advanced with the allies into — Laconia
ἔχων Μακεδόνας μὲν τοὺς εἰς τὴν φάλαγγα μυρίους, 65.2
having Macedonians indeed those for the phalanx ten-thousand
πελταστὰς δὲ τρισχιλίους, ἱππεῖς δὲ τριακοσίους, Ἀγριᾶνας
peltasts and three-thousand cavalry and three-hundred Agrianians
δὲ σὺν τούτοις χιλίους καὶ Γαλάτας ἄλλους τοσούτους,
and with these a-thousand and Gauls other as-many

μισθοφόρους δὲ τοὺς πάντας πεζοὺς μὲν τρισχιλίους,
mercenaries and the all infantry indeed three-thousand
ἱππεῖς δὲ τριακοσίους,
cavalry and three-hundred
65.3 Ἀχαιῶν δ' ἐπιλέκτους πεζοὺς μὲν τρισχιλίους, ἱππεῖς
of-Achaeans and picked infantry indeed three-thousand cavalry
δὲ τριακοσίους, καὶ Μεγαλοπολίτας χιλίους εἰς τὸν
and three-hundred and Megalopolitans a-thousand in the
Μακεδονικὸν τρόπον καθωπλισμένους, ὧν ἡγεῖτο Κερκιδᾶς
Macedonian way armed whom led Cercidas
Μεγαλοπολίτης, τῶν δὲ συμμάχων Βοιωτῶν μὲν πεζοὺς
a-Megalopolitan of-the and allies of-Boeotians indeed infantry
δισχιλίους,
two-thousand
65.4 ἱππεῖς δὲ διακοσίους, Ἠπειρωτῶν πεζοὺς χιλίους, ἱππεῖς
cavalry and two-hundred of-Epirotes infantry a-thousand cavalry
πεντήκοντα, Ἀκαρνάνων ἄλλους τοσούτους, Ἰλλυριῶν
fifty of-Acarnanians others as-many of-Illyrians
χιλίους ἑξακοσίους, ἐφ' ὧν ἦν Δημήτριος ὁ Φάριος,
a-thousand six-hundred over whom was Demetrius the Pharian
65.5 ὥστ' εἶναι πᾶσαν τὴν δύναμιν πεζοὺς μὲν εἰς δισμυρίους
so-that to-be all the force infantry indeed about twenty-thousand
ὀκτακισχιλίους, ἱππεῖς δὲ χιλίους καὶ διακοσίους.
eight-thousand cavalry and a-thousand and two-hundred
65.6 ὁ δὲ Κλεομένης προσδοκῶν τὴν ἔφοδον τὰς μὲν ἄλλας
— and Cleomenes expecting the attack the indeed other
τὰς εἰς τὴν χώραν εἰσβολὰς ἠσφαλίσατο φυλακαῖς καὶ
the into the country entrances secured with-guards and
τάφροις καὶ δένδρων ἐκκοπαῖς,
trenches and of-trees fellings

αὐτὸς δὲ κατὰ τὴν Σελλασίαν καλουμένην μετὰ τῆς 65.7
himself and at — Sellasia called with the
δυνάμεως ἐστρατοπέδευε, τῆς πάσης ὑπαρχούσης αὐτῷ
force encamped the whole being to-him
στρατιᾶς εἰς δύο μυριάδας, στοχαζόμενος ἐκ τῶν κατὰ
army to two myriads guessing from the according-to
λόγον ταύτῃ ποιήσασθαι τοὺς ὑπεναντίους τὴν εἰσβολήν·
reason here to-make the enemy the invasion
ὃ καὶ συνεκύρησε.
which also happened
δύο δὲ λόφων ἐπ᾽ αὐτῆς τῆς εἰσόδου κειμένων, ὧν τὸν 65.8
two and hills at the-very — entrance lying of-which the-one
μὲν Εὔαν, τὸν δ᾽ ἕτερον Ὄλυμπον καλεῖσθαι συμβαίνει,
indeed Evas the and other Olympus to-be-called it-happens
τῆς δ᾽ ὁδοῦ μεταξὺ τούτων παρὰ τὸν Οἰνοῦντα ποταμὸν 65.9
the and road between these along the Oenus river
φερούσης εἰς τὴν Σπάρτην, ὁ μὲν Κλεομένης τῶν
leading to — Sparta — indeed Cleomenes the
προειρημένων λόφων συνάμφω τάφρον καὶ χάρακα
aforementioned hills both trench and palisade
προβαλόμενος ἐπὶ μὲν τὸν Εὔαν ἔταξε τοὺς περιοίκους
having-put-in-front on indeed — Evas posted the perioeci
καὶ συμμάχους, ἐφ᾽ ὧν ἐπέστησε τὸν ἀδελφὸν Εὐκλείδαν,
and allies over whom he-set the brother Eucleidas
αὐτὸς δὲ τὸν Ὄλυμπον κατεῖχε μετὰ Λακεδαιμονίων καὶ
himself and — Olympus held with Lacedaemonians and
τῶν μισθοφόρων.
the mercenaries

65.10 ἐν δὲ τοῖς ἐπιπέδοις παρὰ τὸν ποταμὸν ἐφ' ἑκάτερα τῆς
in and the plains along the river on both-sides of-the
ὁδοῦ τοὺς ἱππεῖς μετὰ μέρους τινὸς τῶν μισθοφόρων
road the cavalry with part some of-the mercenaries
παρενέβαλεν.
he-stationed

65.11 Ἀντίγονος δὲ παραγενόμενος καὶ συνθεωρήσας τήν τε τῶν
Antigonus and having-arrived and having-observed the both of-the
τόπων ὀχυρότητα καὶ τὸν Κλεομένη πᾶσι τοῖς οἰκείοις
places strength and — Cleomenes with-all the own
μέρεσι τῆς δυνάμεως οὕτως εὐστόχως προκατειληφότα τὰς
parts of-the force so skillfully having-seized-first the
εὐκαιρίας ὥστε παραπλήσιον εἶναι τὸ σύμπαν σχῆμα τῆς
vantage-points so-that similar to-be the whole formation of-the
στρατοπεδείας τῆς τῶν ἀγαθῶν ὁπλομάχων προβολῆς·
camp to-the of-the good fencers guard

65.12 οὐδὲν γὰρ ἀπέλειπε τῶν πρὸς ἐπίθεσιν ἅμα καὶ
nothing for it-lacked of-the-things for attack at-once and
φυλακήν, ἀλλ' ἦν ὁμοῦ παράταξις ἐνεργὸς καὶ παρεμβολὴ
defense but it-was together battle-line active and camp
δυσπρόσοδος·
hard-to-approach

65.13 διὸ καὶ τὸ μὲν ἐξ ἐφόδου καταπειράζειν καὶ
wherefore also the indeed at the-first-onset to-make-trial and
συμπλέκεσθαι
to-engage

66.1 προχείρως ἀπέγνω, στρατοπεδεύσας δ' ἐν βραχεῖ διαστήματι
readily he-gave-up having-encamped and at short distance
καὶ λαβὼν πρόβλημα τὸν Γοργύλον καλούμενον ποταμόν,
and having-taken as-a-screen the Gorgylus called river

τινὰς μὲν ἡμέρας ἐπιμένων συνεθεώρει τάς τε τῶν
some indeed days remaining he-observed the both of-the
τόπων ἰδιότητας καὶ τὰς τῶν δυνάμεων διαφοράς,
places peculiarities and the of-the forces differences
ἅμα δὲ καὶ προδεικνύων τινὰς ἐπιβολὰς πρὸς τὸ μέλλον 66.2
at-once and also showing some designs for the future
ἐξεκαλεῖτο τὰς τῶν ὑπεναντίων ἐπινοίας.
he-called-forth the of-the enemy intentions
οὐ δυνάμενος δὲ λαβεῖν οὐδὲν ἀργὸν οὐδ' ἔξοπλον διὰ 66.3
not being-able and to-catch anything idle nor unguarded because-of
τὸ πρὸς πᾶν ἑτοίμως ἀντικινεῖσθαι τὸν Κλεομένη,
the to everything readily to-counter-move — Cleomenes
τῆς μὲν τοιαύτης ἐπινοίας ἀπέστη, τέλος δ' ἐξ ὁμολόγου 66.4
the indeed such design he-abandoned at-last and by agreement
διὰ μάχης ἀμφότεροι προέθεντο κρίνειν τὰς πράξεις·
through battle both proposed to-decide the affairs
πάνυ γὰρ εὐφυεῖς καὶ παραπλησίους ἡγεμόνας ἡ τύχη
very for gifted and evenly-matched leaders the fortune
συνέβαλε τούτους τοὺς ἄνδρας.
brought-together these the men
πρὸς μὲν οὖν τοὺς κατὰ τὸν Εὔαν ὁ βασιλεὺς 66.5
against indeed therefore those on — Evas the king
ἀντέταξε τῶν τε Μακεδόνων τοὺς χαλκάσπιδας καὶ τοὺς
opposed of-the both Macedonians the bronze-shields and the
Ἰλλυριούς, κατὰ σπείρας ἐναλλὰξ τεταγμένους, Ἀλέξανδρον
Illyrians by companies alternately ranged Alexander
τὸν Ἀκμήτου καὶ Δημήτριον τὸν Φάριον ἐπιστήσας.
the son-of-Acmetus and Demetrius the Pharian having-set-over-(them)

66.6 ἐπὶ δὲ τούτοις τοὺς Ἀκαρνᾶνας καὶ Ἠπειρώτας ἐπέβαλε·
behind and these the Acarnanians and Epirotes he-placed
τούτων δὲ κατόπιν ἦσαν δισχίλιοι τῶν Ἀχαιῶν, ἐφεδρείας
of-these and behind were two-thousand of-the Achaeans of-reserve
λαμβάνοντες τάξιν.
taking position

66.7 τοὺς δ' ἱππεῖς περὶ τὸν Οἰνοῦντα ποταμὸν ἀντέθηκε
the and cavalry about the Oenus river he-set-against
τῷ τῶν πολεμίων ἱππικῷ, συστήσας αὐτοῖς Ἀλέξανδρον
the of-the enemy cavalry having-appointed for-them Alexander
ἡγεμόνα καὶ συμπαραθεὶς πεζοὺς τῶν Ἀχαϊκῶν χιλίους
as-leader and having-placed-beside infantry of-the Achaean a-thousand
καὶ Μεγαλοπολίτας τοὺς ἴσους.
and Megalopolitans the equal-number

66.8 αὐτὸς δὲ τοὺς μισθοφόρους ἔχων καὶ τοὺς Μακεδόνας
himself and the mercenaries having and the Macedonians
κατὰ τὸν Ὄλυμπον πρὸς τοὺς περὶ τὸν Κλεομένη διέγνω
at — Olympus against those about — Cleomenes decided
ποιεῖσθαι τὴν μάχην.
to-make the battle

66.9 προτάξας οὖν τοὺς μισθοφόρους ἐπέστησε διφαλαγγίαν
having-placed-in-front therefore the mercenaries he-set a-double-phalanx
ἐπάλληλον τῶν Μακεδόνων· ἐποίει δὲ τοῦτο διὰ τὴν
one-behind-another of-the Macedonians he-did and this because-of the
στενότητα τῶν τόπων.
narrowness of-the places

66.10 σύνθημα δ' ἦν τοῖς μὲν Ἰλλυριοῖς τότε ποιεῖσθαι τὴν
signal and was for-the indeed Illyrians then to-make the
ἀρχὴν τῆς πρὸς τὸν λόφον προσβολῆς, ὅταν ἴδωσιν
beginning of-the toward the hill attack when they-see
ἀρθεῖσαν ἀπὸ τῶν κατὰ τὸν Ὄλυμπον τόπων σινδόνα —
raised from the about — Olympus places a-linen-cloth

προσηρτημένοι γὰρ ἦσαν οὗτοι νυκτὸς ἐν τῷ Γοργύλῳ
having-been-posted for were these by-night in the Gorgylus
ποταμῷ πρὸς αὐτῇ τῇ τοῦ λόφου ῥίζῃ —
river at the-very — of-the hill foot
τοῖς δὲ Μεγαλοπολίταις καὶ τοῖς ἱππεῦσι παραπλησίως, 66.11
for-the and Megalopolitans and the cavalry similarly
ἐπειδὰν φοινικὶς ἐξαρθῇ παρὰ τοῦ βασιλέως.
when a-red-flag is-raised by the king

II.67–71 · THE BATTLE OF SELLASIA

At the signal the Illyrians climb Evas. Young Philopoemen, seeing the enemy's light troops threaten them from behind, charges without orders and turns the battle there; Eucleidas, holding the hill passively, is routed. On Olympus the Macedonians' double phalanx drives the Spartans out. Cleomenes flees to Alexandria. Antigonus takes Sparta and restores its constitution, but must hurry home against the Illyrians; had Cleomenes waited a few days, Polybius notes, he would have kept his throne. Antigonus beats the Illyrians, soon dies, and leaves Macedon to Philip, as new kings also succeed in Egypt and Syria. The introduction ends as the Social, Hannibalic, and Coele Syrian wars begin.

ἐπειδὴ δ' ὁ μὲν καιρὸς ἦκε τῆς χρείας, τὸ δὲ σύνθημα 67.1
when and the indeed time came of-the action the and signal
τοῖς Ἰλλυριοῖς ἀπεδόθη, παρήγγειλαν δὲ ποιεῖν τὸ δέον
to-the Illyrians was-given they-passed-the-word and to-do the needful
οἷς ἦν ἐπιμελές, πάντες εὐθέως ἀναδείξαντες αὑτοὺς
to-whom it-was the-concern all straightway having-shown themselves
κατήρχοντο τῆς πρὸς τὸν βουνὸν προσβολῆς.
began the toward the hill attack
οἱ δὲ μετὰ τῶν Κλεομένους ἱππέων ἐξ ἀρχῆς ταχθέντες 67.2
those and with the of-Cleomenes cavalry from beginning posted
εὔζωνοι, θεωροῦντες τὰς σπείρας τῶν Ἀχαιῶν ἐρήμους
light-armed seeing the maniples of-the Achaeans deserted

ἐκ τῶν κατόπιν οὔσας, κατ᾽ οὐρὰν προσπίπτοντες εἰς
from the rear being on rear falling-upon into
ὁλοσχερῆ κίνδυνον ἦγον τοὺς πρὸς τὸν λόφον βιαζομένους,
complete danger brought those against the hill forcing-their-way
67.3 ὡς ἂν τῶν μὲν περὶ τὸν Εὐκλείδαν ἐξ ὑπερδεξίου κατὰ
as — those indeed about — Eucleidas from higher-ground in
πρόσωπον αὐτοῖς ἐφεστώτων, τῶν δὲ μισθοφόρων κατόπιν
front them standing-over the and mercenaries behind
ἐπικειμένων καὶ προσφερόντων τὰς χεῖρας ἐρρωμένως.
pressing-on and bringing-to-bear the hands vigorously
67.4 ἐν ᾧ καιρῷ συννοήσας τὸ γινόμενον, ἅμα δὲ
at which moment having-understood the happening at-once and
προορώμενος τὸ μέλλον Φιλοποίμην ὁ Μεγαλοπολίτης τὸ
foreseeing the future Philopoemen the Megalopolitan the
μὲν πρῶτον ὑποδεικνύειν ἐπεβάλλετο τοῖς προεστῶσι τὸ
indeed first to-point-out attempted to-the commanders the
συμβησόμενον·
to-be-going-to-happen
67.5 οὐδενὸς δὲ προσέχοντος αὐτῷ διὰ τὸ μήτ᾽ ἐφ᾽ ἡγεμονίας
no-one and attending to-him because-of the neither in command
τετάχθαι μηδεπώποτε κομιδῇ τε νέον ὑπάρχειν αὐτόν,
to-have-been-posted ever-yet quite and young to-be him
παρακαλέσας τοὺς ἑαυτοῦ πολίτας ἐνέβαλε τοῖς πολεμίοις
having-exhorted the his-own fellow-citizens he-charged the enemy
τολμηρῶς.
boldly
67.6 οὗ γενομένου ταχέως οἱ προσκείμενοι μισθοφόροι κατ᾽
which having-happened quickly the pressing mercenaries on
οὐρὰν τοῖς προσβαίνουσιν, ἀκούσαντες τῆς κραυγῆς καὶ
rear on-those climbing having-heard the shout and
συνιδόντες τὴν τῶν ἱππέων συμπλοκήν, ἀφέμενοι τῶν
having-seen the of-the cavalry engagement having-let-go the

προκειμένων ἀνέτρεχον εἰς τὰς ἐξ ἀρχῆς τάξεις καὶ
matters-in-hand ran-back to the from beginning positions and
προσεβοήθουν τοῖς παρ᾽ αὐτῶν ἱππεῦσι.
helped the from their-own cavalry
τούτου δὲ συμβάντος ἀπερίσπαστον γενόμενον τό τε 67.7
this and having-happened undistracted having-become the both
τῶν Ἰλλυριῶν καὶ Μακεδόνων καὶ τῶν ἅμα τούτοις
of-the Illyrians and Macedonians and of-those with these
προσβαινόντων πλῆθος ἐκθύμως ὥρμησε καὶ τεθαρρηκότως
climbing mass spiritedly rushed and confidently
ἐπὶ τοὺς ὑπεναντίους.
against the enemy
ἐξ οὗ καὶ μετὰ ταῦτα φανερὸν ἐγενήθη διότι τοῦ κατὰ 67.8
from which also after these-things evident it-became that of-the over
τὸν Εὐκλείδαν προτερήματος αἴτιος ἐγίνετο Φιλοποίμην.
— Eucleidas advantage cause was Philopoemen
ὅθεν καὶ τὸν Ἀντίγονόν φασι μετὰ ταῦτα καταπειράζοντα 68.1
whence also — Antigonus they-say after these-things testing
πυνθάνεσθαι τοῦ ταχθέντος ἐπὶ τῶν ἱππέων Ἀλεξάνδρου
to-ask the posted over the cavalry Alexander
διὰ τί πρὸ τοῦ παραδοθῆναι τὸ σύνθημα τοῦ κινδύνου
because-of what before the to-be-given the signal the battle
κατάρξαιτο.
he-began
τοῦ δ᾽ ἀρνουμένου, φάσκοντος δὲ μειράκιόν τι 68.2
him and denying saying and youth some
Μεγαλοπολιτικὸν προεγχειρῆσαι παρὰ τὴν ἑαυτοῦ γνώμην,
Megalopolitan to-have-attacked-first against the his-own judgment
εἰπεῖν διότι τὸ μὲν μειράκιον ἡγεμόνος ἔργον ἀγαθοῦ
to-have-said that the indeed youth of-a-leader work good

ποιήσαι, συνθεασάμενον τὸν καιρόν, ἐκεῖνος δ' ἡγεμὼν
did having-seen the moment he and leader
ὑπάρχων μειρακίου τοῦ τυχόντος.
being of-a-youth the ordinary

68.3 οὐ μὴν ἀλλ' οἵ γε περὶ τὸν Εὐκλείδαν ὁρῶντες
not however but those at-least about — Eucleidas seeing
προσβαινούσας τὰς σπείρας, ἀφέμενοι τοῦ χρῆσθαι ταῖς
climbing the maniples having-let-go the to-use the
τῶν τόπων εὐκαιρίαις —
of-the places advantages

68.4 τοῦτο δ' ἦν ἐκ πολλοῦ συναντῶντας καὶ προσπίπτοντας
this and was from far meeting and falling-upon
τοῖς πολεμίοις τὰ μὲν ἐκείνων στίφη συνταράττειν καὶ
the enemy the indeed their masses to-throw-into-confusion and
διαλύειν, αὐτοὺς δ' ὑποχωρεῖν ἐπὶ πόδα καὶ μεθίστασθαι
to-break-up themselves and to-withdraw back step and to-shift
πρὸς τοὺς ὑπερδεξίους ἀεὶ τόπους ἀσφαλῶς·
to the higher always places safely

68.5 οὕτω γὰρ ἂν προλυμηνάμενοι καὶ συγχέαντες τὸ τοῦ
so for — having-first-damaged and having-confounded the of-the
καθοπλισμοῦ καὶ τῆς συντάξεως ἰδίωμα τῶν ὑπεναντίων
armament and of-the formation peculiarity of-the enemy
ῥᾳδίως αὐτοὺς ἐτρέψαντο διὰ τὴν τῶν τόπων
easily them they-would-have-routed because-of the of-the places
εὐφυΐαν —
advantage

68.6 τούτων μὲν οὐδὲν ἐποίησαν, καθάπερ δ' ἐξ ἑτοίμου
of-these indeed nothing they-did as but from ready
σφίσι τῆς νίκης ὑπαρχούσης τοὐναντίον ἔπραξαν.
for-them the victory being the-contrary they-did

κατὰ γὰρ τὴν ἐξ ἀρχῆς στάσιν ἔμενον ἐπὶ τῶν 68.7
according-to for the from beginning position they-remained on the
ἄκρων, ὡς ἀνωτάτω σπεύδοντες λαβεῖν τοὺς ὑπεναντίους
heights as highest hastening to-take the enemy
εἰς τὸ τὴν φυγὴν ἐπὶ πολὺ καταφερῆ καὶ κρημνώδη
for the the flight for far downhill and precipitous
γενέσθαι τοῖς πολεμίοις.
to-become for-the enemy
συνέβη δ', ὅπερ εἰκὸς ἦν, τοὐναντίον· οὐ γὰρ ἀπολιπόντες 68.8
it-happened and which likely was the-contrary not for having-left
αὐτοῖς ἀναχώρησιν, προσδεξάμενοι δ' ἀκεραίους ἅμα
for-themselves retreat having-received but fresh at-once
καὶ συνεστώσας τὰς σπείρας, εἰς τοῦτο δυσχρηστίας ἦλθον
and compact the maniples to this of-difficulty they-came
ὥστε δι' αὐτῆς τῆς τοῦ λόφου κορυφῆς διαμάχεσθαι
that through the-very — of-the hill crest to-fight-it-out
πρὸς τοὺς βιαζομένους.
against those forcing-their-way
λοιπὸν ὅσον ἐκ ποδὸς ἐπιέσθησαν τῷ βάρει τοῦ 68.9
thereafter as-soon-as from foot they-were-pressed by-the weight of-the
καθοπλισμοῦ καὶ τῆς συντάξεως, εὐθέως οἱ μὲν Ἰλλυριοὶ
armament and of-the formation straightway the indeed Illyrians
τὴν κατάστασιν ἐλάμβανον, οἱ δὲ περὶ τὸν Εὐκλείδαν
the position took those and about — Eucleidas
τὴν ὑπὸ πόδα διὰ τὸ μὴ καταλείπεσθαι τόπον εἰς
the under foot because-of the not to-be-left place for
ἀναχώρησιν καὶ μετάστασιν ἑαυτοῖς.
retreat and change-of-position for-themselves

68.10 ἐξ οὗ ταχέως συνέβη τραπέντας αὐτοὺς ὀλεθρίῳ
from which quickly it-happened routed them deadly
χρήσασθαι φυγῇ, κρημνώδη καὶ δύσβατον ἐχόντων ἐπὶ
to-use flight precipitous and hard-to-traverse having for
πολὺ τὴν ἀναχώρησιν τῶν τόπων.
far the retreat the places

69.1 ἅμα δὲ τούτοις ὁ περὶ τοὺς ἱππεῖς συνετελεῖτο
at-the-same-time and with-these the about the cavalry was-being-fought
κίνδυνος, ἐκπρεπῆ ποιουμένων τὴν χρείαν τῶν Ἀχαϊκῶν
battle conspicuous making the service the Achaean
ἱππέων ἁπάντων, μάλιστα δὲ Φιλοποίμενος, διὰ τὸ
cavalry of-all most and Philopoemen because-of the
περὶ τῆς αὐτῶν ἐλευθερίας συνεστάναι τὸν ὅλον ἀγῶνα.
about the their freedom to-have-been-set-up the whole struggle

69.2 καθ᾽ ὃν καιρὸν τῷ προειρημένῳ συνέβη τὸν μὲν
at which time to-the aforementioned it-happened the indeed
ἵππον πεσεῖν πληγέντα καιρίως, αὐτὸν δὲ πεζομαχοῦντα
horse to-fall struck mortally himself and fighting-on-foot
περιπεσεῖν τραύματι βιαίῳ δι᾽ ἀμφοῖν τοῖν μηροῖν.
to-fall-in-with a-wound violent through both the two-thighs

69.3 οἱ δὲ βασιλεῖς κατὰ τὸν Ὄλυμπον τὸ μὲν πρῶτον ἐποιοῦντο
the and kings at — Olympus the indeed first made
διὰ τῶν εὐζώνων καὶ μισθοφόρων τὴν συμπλοκήν, παρ᾽
through the light-armed and mercenaries the engagement with
ἑκατέροις σχεδὸν ὑπαρχόντων τούτων εἰς πεντακισχιλίους.
each nearly being these about five-thousand

69.4 ὧν ποτὲ μὲν κατὰ μέρη, ποτὲ δ᾽ ὁλοσχερῶς
of-whom at-times indeed in parts at-times and in-full
συμπιπτόντων, διαφέρουσαν συνέβαινε γίνεσθαι τὴν
engaging distinguished it-happened to-be the

ἐξ ἀμφοῖν χρείαν, ὁμοῦ τῶν τε βασιλέων καὶ τῶν
from both service together the both kings and the
στρατοπέδων ἐν συνόψει ποιουμένων τὴν μάχην.
armies in view making the battle
ἠμιλλῶντο δὲ πρὸς ἑαυτοὺς καὶ κατ᾽ ἄνδρα καὶ κατὰ 69.5
they-vied and with themselves both by man and by
τάγμα ταῖς εὐψυχίαις.
unit in-the courage
ὁ δὲ Κλεομένης ὁρῶν τοὺς μὲν περὶ τὸν ἀδελφὸν 69.6
— and Cleomenes seeing those indeed about the brother
πεφευγότας, τοὺς δ᾽ ἐν τοῖς ἐπιπέδοις ἱππεῖς ὅσον οὔπω
having-fled the and in the plains cavalry as-good-as not-yet
κλίνοντας, καταπλαγὴς ὢν μὴ πανταχόθεν προσδέξηται
giving-way terrified being lest from-all-sides he-receive
τοὺς πολεμίους, ἠναγκάζετο διασπᾶν τὰ προτειχίσματα
the enemy was-compelled to-tear-down the outworks
καὶ πᾶσαν τὴν δύναμιν ἐξάγειν μετωπηδὸν κατὰ μίαν
and all the force to-lead-out frontally along one
πλευρὰν τῆς στρατοπεδείας.
side of-the camp
ἀνακληθέντων δὲ τῶν παρ᾽ ἑκατέροις εὐζώνων ἐκ τοῦ 69.7
having-been-recalled and the with each light-armed from the
μεταξὺ τόπου διὰ τῆς σάλπιγγος, συναλαλάξασαι καὶ
between place by the trumpet having-raised-the-war-cry and
καταβαλοῦσαι τὰς σαρίσας συνέβαλλον αἱ φάλαγγες
having-lowered the pikes engaged the phalanxes
ἀλλήλαις.
one-another
ἀγῶνος δὲ γενομένου κραταιοῦ, καὶ ποτὲ μὲν ἐπὶ πόδα 69.8
struggle and having-arisen fierce and at-times indeed back step
ποιουμένων τὴν ἀναχώρησιν καὶ πιεζομένων ἐπὶ πολὺ
making the retreat and being-pressed for far

τῶν Μακεδόνων ὑπὸ τῆς τῶν Λακώνων εὐψυχίας, ποτὲ
the Macedonians by the of-the Laconians courage at-times
δὲ τῶν Λακεδαιμονίων ἐξωθουμένων ὑπὸ τοῦ βάρους τῆς
and the Lacedaemonians being-thrust-out by the weight of-the
τῶν Μακεδόνων τάξεως,
of-the Macedonians formation

69.9 τέλος οἱ περὶ τὸν Ἀντίγονον συμφράξαντες τὰς σαρίσας
at-last those about — Antigonus having-locked-together the pikes
καὶ χρησάμενοι τῷ τῆς ἐπαλλήλου φάλαγγος ἰδιώματι,
and having-used the of-the one-behind-another phalanx peculiarity
βίᾳ προσπεσόντες ἐξέωσαν ἐκ τῶν ὀχυρωμάτων τοὺς
by-force having-charged thrust-out from the fortifications the
Λακεδαιμονίους.
Lacedaemonians

69.10 τὸ μὲν οὖν ἄλλο πλῆθος ἔφευγε προτροπάδην
the indeed therefore other mass fled headlong
φονευόμενον· ὁ δὲ Κλεομένης ἱππεῖς τινας ἔχων περὶ
being-slaughtered — and Cleomenes cavalry some having about
ἑαυτὸν ἀπεχώρησε μετὰ τούτων ἀσφαλῶς εἰς τὴν Σπάρτην.
himself withdrew with these safely to — Sparta

69.11 ἐπιγενομένης δὲ τῆς νυκτὸς καταβὰς εἰς Γύθιον,
having-come and the night having-gone-down to Gythium
ἡτοιμασμένων αὐτῷ τῶν πρὸς τὸν πλοῦν ἐκ πλείονος
having-been-prepared for-him the-things for the voyage from longer
χρόνου πρὸς τὸ συμβαῖνον, ἀπῆρε μετὰ τῶν φίλων εἰς
time for the eventuality he-sailed with the friends to
Ἀλεξάνδρειαν.
Alexandria

70.1 Ἀντίγονος δ' ἐγκρατὴς γενόμενος ἐξ ἐφόδου τῆς Σπάρτης
Antigonus and master having-become at the-first-onset — of-Sparta
τά τε λοιπὰ μεγαλοψύχως καὶ φιλανθρώπως ἐχρήσατο
the both rest magnanimously and humanely treated

τοῖς Λακεδαιμονίοις, τό τε πολίτευμα τὸ πάτριον αὐτοῖς
the Lacedaemonians the both constitution the ancestral for-them
ἀποκαταστήσας ἐν ὀλίγαις ἡμέραις ἀνέζευξε μετὰ τῶν
having-restored in few days broke-camp with the
δυνάμεων ἐκ τῆς πόλεως, προσαγγελθέντος αὐτῷ τοὺς
forces from the city it-having-been-reported to-him the
Ἰλλυριοὺς εἰσβεβληκότας εἰς Μακεδονίαν πορθεῖν τὴν χώραν.
Illyrians having-invaded into Macedonia to-ravage the country
οὕτως ἀεί ποθ' ἡ τύχη τὰ μέγιστα τῶν πραγμάτων 70.2
so always ever the fortune the greatest of-the affairs
παρὰ λόγον εἴωθε κρίνειν.
contrary-to reason is-wont to-decide
καὶ γὰρ τότε Κλεομένης, εἴτε τὰ κατὰ τὸν κίνδυνον 70.3
and for then Cleomenes either the-things concerning the battle
παρείλκυσε τελέως ὀλίγας ἡμέρας, εἴτ' ἀναχωρήσας
had-delayed quite few days or having-withdrawn
ἀπὸ τῆς μάχης εἰς τὴν πόλιν ἐπὶ βραχὺ τῶν καιρῶν
from the battle into the city for short of-the times
ἀντεποιήσατο, διακατέσχεν ἂν τὴν ἀρχήν.
had-held-out would-have-kept — the rule
οὐ μὴν ἀλλ' ὅ γ' Ἀντίγονος παραγενόμενος εἰς Τεγέαν 70.4
not however but — at-least Antigonus having-arrived at Tegea
καὶ τούτοις ἀποδοὺς τὴν πάτριον πολιτείαν δευτεραῖος
also to-these having-restored the ancestral constitution on-the-second-day
ἐντεῦθεν εἰς Ἄργος ἐπ' αὐτὴν ἦλθε τὴν τῶν Νεμέων
thence to Argos for the-very came — of-the Nemean
πανήγυριν.
festival
ἐν ᾗ τυχὼν πάντων τῶν πρὸς ἀθάνατον δόξαν καὶ 70.5
in which having-obtained all the to immortal glory and
τιμὴν ἀνηκόντων ὑπό τε τοῦ κοινοῦ τῶν Ἀχαιῶν καὶ
honor pertaining-things from both the commonwealth of-the Achaeans and

κατ᾽ ἰδίαν ἑκάστης τῶν πόλεων ὥρμησε κατὰ σπουδὴν
in private each of-the cities he-set-out in haste
εἰς Μακεδονίαν.
to Macedonia

70.6 καταλαβὼν δὲ τοὺς Ἰλλυριοὺς ἐν τῇ χώρᾳ καὶ συμβαλὼν
having-found and the Illyrians in the country and having-engaged
ἐκ παρατάξεως τῇ μὲν μάχῃ κατώρθωσε, τῇ δὲ
in pitched-battle in-the indeed battle he-succeeded in-the and
παρακλήσει καὶ κραυγῇ τῇ κατ᾽ αὐτὸν τὸν κίνδυνον ἐκθύμως
exhortation and shouting the during the-very — battle spiritedly
χρησάμενος εἰς αἵματος ἀναγωγὴν καί τινα τοιαύτην
having-used into of-blood bringing-up and some such
διάθεσιν ἐμπεσὼν μετ᾽ οὐ πολὺ νόσῳ τὸν βίον μετήλλαξε,
condition having-fallen after not long by-disease the life he-ended

70.7 καλὰς ἐλπίδας ὑποδείξας ἐν αὑτῷ πᾶσι τοῖς Ἕλλησιν, οὐ
fine hopes having-shown in himself to-all the Greeks not
μόνον κατὰ τὴν ἐν τοῖς ὑπαίθροις χρείαν, ἔτι δὲ μᾶλλον
only in the in the field service still and more
κατὰ τὴν ὅλην αἵρεσιν καὶ καλοκἀγαθίαν.
in the whole principle and nobility

70.8 τὴν δὲ Μακεδόνων βασιλείαν ἀπέλιπε Φιλίππῳ τῷ
the and of-Macedonians kingdom he-left to-Philip the
Δημητρίου.
son-of-Demetrius

71.1 τίνος δὲ χάριν ἐποιησάμεθα τὴν ἐπὶ πλεῖον ὑπὲρ τοῦ
of-what and for-the-sake did-we-make the at more-length about the
προειρημένου πολέμου μνήμην;
aforementioned war mention

71.2 διότι τῶν καιρῶν τούτων συναπτόντων τοῖς ὑφ᾽ ὑμῶν
because the times these joining-on to-those by you
ἱστορεῖσθαι μέλλουσι χρήσιμον ἐδόκει, μᾶλλον δ᾽ ἀναγκαῖον
to-be-narrated about-to-be useful it-seemed rather and necessary

εἶναι κατὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν τὸ ποιῆσαι πᾶσιν
to-be according-to the from beginning plan the to-make for-all
ἐναργῆ καὶ γνώριμον τὴν ὑπάρχουσαν περὶ Μακεδόνας
clear and known the existing about Macedonians
καὶ τοὺς Ἕλληνας τότε κατάστασιν.
and the Greeks then condition
περὶ δὲ τοὺς αὐτοὺς καιροὺς καὶ Πτολεμαίου νόσῳ τὸν 71.3
about and the same times also Ptolemy by-disease the
βίον μεταλλάξαντος Πτολεμαῖος ὁ κληθεὶς Φιλοπάτωρ
life having-ended Ptolemy the called Philopator
διεδέξατο τὴν βασιλείαν.
succeeded-to the kingdom
μετήλλαξε δὲ καὶ Σέλευκος ὁ Σελεύκου τοῦ Καλλινίκου 71.4
died and also Seleucus the son-of-Seleucus the Callinicus
καὶ Πώγωνος ἐπικληθέντος· Ἀντίοχος δὲ διεδέξατο τὴν ἐν
and Pogon surnamed Antiochus and succeeded-to the in
Συρίᾳ βασιλείαν, ἀδελφὸς ὢν αὐτοῦ.
Syria kingdom brother being his
παραπλήσιον γὰρ δή τι συνέβη τούτοις καὶ τοῖς 71.5
similar for indeed something happened to-these and to-the
πρώτοις μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν κατασχοῦσι τὰς
first after the of-Alexander death having-held the
ἀρχὰς ταύτας, λέγω δὲ Σελεύκῳ, Πτολεμαίῳ, Λυσιμάχῳ.
realms these I-mean and Seleucus Ptolemy Lysimachus
ἐκεῖνοί τε γὰρ πάντες περὶ τὴν εἰκοστὴν καὶ τετάρτην 71.6
those both for all about the twentieth and fourth
πρὸς ταῖς ἑκατὸν ὀλυμπιάδα μετήλλαξαν, καθάπερ ἐπάνω
besides the hundred olympiad died as above
προεῖπον, οὗτοί τε περὶ τὴν ἐνάτην καὶ τριακοστήν.
I-said-before these and about the ninth and thirtieth

71.7 ἡμεῖς δ' ἐπειδὴ τὴν ἐπίστασιν καὶ προκατασκευὴν τῆς
we and since the preface and introduction of-the
ὅλης ἱστορίας διεληλύθαμεν, δι' ἧς ὑποδέδεικται πότε
whole history we-have-gone-through through which has-been-shown when
καὶ πῶς καὶ δι' ἃς αἰτίας τῶν κατὰ τὴν Ἰταλίαν
and how and through which causes of-the-things in — Italy
κρατήσαντες Ῥωμαῖοι πρῶτον ἐγχειρεῖν ἤρξαντο τοῖς
having-become-masters Romans first to-undertake began the
ἔξω πράγμασι καὶ πρῶτον ἐτόλμησαν ἀμφισβητεῖν
outside affairs and first dared to-dispute
Καρχηδονίοις τῆς θαλάττης,
with-Carthaginians the sea

71.8 ἅμα δὲ τούτοις καὶ τὴν περὶ τοὺς Ἕλληνας καὶ
together and with-these also the about the Greeks and
Μακεδόνας, ὁμοίως δὲ καὶ περὶ Καρχηδονίους ὑπάρχουσαν
Macedonians likewise and also about Carthaginians existing
τότε κατάστασιν δεδηλώκαμεν,
then condition we-have-shown

71.9 καθῆκον ἂν εἴη παραγεγονότας ἐπὶ τοὺς καιροὺς
fitting — it-would-be having-arrived at the times
τούτους κατὰ τὴν ἐξ ἀρχῆς πρόθεσιν, ἐν οἷς ἔμελλον
these according-to the from beginning plan in which were-about
οἱ μὲν Ἕλληνες τὸν συμμαχικόν, Ῥωμαῖοι δὲ τὸν
the indeed Greeks the allied Romans and the
Ἀννιβιακόν, οἱ δὲ κατὰ τὴν Ἀσίαν βασιλεῖς τὸν περὶ
Hannibalic the and in — Asia kings the about
Κοίλης Συρίας ἐνίστασθαι πόλεμον,
Coele Syria to-begin war

καὶ τὴν βύβλον ταύτην ἀφορίζειν ἀκολούθως τῇ τε 71.10
also the book this to-bound in-keeping-with the both
τῶν προγεγονότων πραγμάτων περιγραφῇ καὶ τῇ τῶν
of-the previous affairs outline and the of-the
κεχειρικότων τὰ πρὸ τοῦ δυναστῶν καταστροφῆ.
having-ruled the before the-time dynasts end